
ΕΔΟΥΑΡΔΟΣ ΙΩΑΝΝΙΔΗΣ

ΑΡΑ ΑΤΤΙΚΙΣΤΙ ΛΕΓΕΙΣ;

ΒΕΔΥΕΡΟΣ ΕΞΕΔΩΚΕΝ



εἰσαγωγή

εἰσαγωγή, ἡ ← εἰς + ἄγω

πάντες οἱ ἐνταῦθα λόγοι δηλοῦνται ἢ διὰ εἰδέων ἢ διὰ τῶν ἐν τῷδε τῷ τόπῳ λόγων · http://dcc.dickinson.edu/greek-core-list
ἐὰν δὲ ἁμάρτω τι, γράψετε πρὸς ἐμέ. χάριν δὴ ἔχω ὑμῖν. μάλιστα δὲ χάριν οἶδα τῷ ἀρίστῳ Ῥανδάλῳ Γίββονς ὅτι πολὺ ἐβοήθησέν μοι.

Βεδυερός
bedwere@yahoo.com

λόγοι

ὧν τὰ ἐνόντα κοινά.

ἔνειμι = ἐν + εἰμί

1 χαῖρε.

ὦ χαῖρε!
χαῖρ’ ὦ Κάρολε!
καὶ σύγε, ὦ Γούσταβε!
ὦ χαῖρε, φίλτατε!
ἀσπάζομαι!
Μύλλερον ἀσπάζομαι!
κἄγωγέ σε!
χαῖρε, χαῖρε, ὡς ἀσμένῳ μοι ἦλθες, ὦ φίλτατε!
ὦ χαῖρε, τί φέρεις;
ὦ χαῖρε, Περίκλεις, τί ἔστιν;
λέγεται τί καινόν; (νεώτερον.)
χαίρετε, ὦ φίλοι (ὦ δέσποιναι)! ὦ κόραι!
Παῦλος ἐπέστειλε φράσαι χαίρειν σοι.
ὦ φίλ’ ἄνερ!

σύγε = σύ γε
φίλτατος, η, ον = μάλα φίλος
ἀσπάζομαι = χαίρειν λέγω, δέχομαί τινα ὡς φίλον
κἄγωγέ σε = καὶ ἐγώ γέ σε
ἄσμενος, η, ον = μάλα χαίρων
καινός, ή, όν = νέος
νεώτερον · λέγομεν περὶ κακοῦ τινος
δέσποινα, ἡ = γυνὴ οἶκον ἔχουσα (← δεσπότης, ου, ὁ)
κόρη, ἡ = νέα γύνη
ἐπιστέλλω = πέμπω

2 *τί πράττεις;*

τί πράττεις;
πάντ᾽ ἀγαθὰ πράττω, ὦ φίλε.
ἄμεινον πράττω ἢ χθές. τί πράττει ὁ πατήρ σου;
εὐδαιμόνως πράττει.
τί δ᾽ ἄλλο παρ᾽ ὑμῖν;
πῶς ἔχεις;
ἔχω κακῶς.
οὐδεμίαν ἔχω τῷ βίῳ χάριν.
κακῶς πράττω.
φαῦλόν ἐστι τὸ ἐμὸν πρᾶγμα.
τίς ἐσθ᾽ ὁ ἐν Λειψίᾳ* βίος;
οὐκ ἄχαρις.

τί πράττεις; = τί ποιεῖς; ἢ πῶς ἔχεις;



εὐδαιμόνως = εὖ (← εὖ + δαίμων, ονος, ὁ/ἡ)

κακῶς πράττω (περὶ τὸ ἀργύριον)



φαῦλος, η, ον = μικρός, οὐ πολύς

ἄχαρις, ὁ, ἡ, ἄχαρι, τό, ιτος = ἄνευ χάριτος ὤν
Λειψία, ἡ · πόλις τῆς Γερμανίας. ὅρα τὸ σχῆμα 1

3 *τί πάσχεις;*

τί πάσχεις;
πάσχω θαυμαστόν.
τί κάμνεις;
τί ἔπαθες;
τί πέπονθας;
τί στένεις;
τί δυσφορεῖς;
μὴ σκυθρώπαζε, ὦ τέκνον!
ἄχθομαι ἐνθάδε παρών.
ῥιγῶν μοι δοκεῖς.
ἰλιγγιῶ.
ἀλγῶ τὴν κεφαλήν.
οὐκ ἔσθ᾽ ὅπως οὐ κραιπαλᾷς.
τίνα νόσον νοσεῖς;

πάσχω θαυμαστόν = θαυμάζων πάσχω
τί κάμνεις; = τίς πόνος ἐστί σοι;


στένω


δυσφορέω
σκυθρωπάζω
ἄχθομαι

ἐνθάδε = ἐνταῦθα


ῥιγέω


ἰλιγγιάω

ἀλγέω = πόνον ἔχω
κραιπαλάω = πολὺ πεπόμενος ἀλγῶ
νοσέω = νόσον ἔχω

ναυτιᾷς δήπου.
κόρυζά σε λαμβάνει.
Ζεῦ σῶσον!
ὀφθαλμιῶ.
ἆρα κέκμηκας;
ἀλγῶ τὰ σκέλη μακρὰν ὁδὸν διεληλυθώς.
κρείττων εἶ μου σὺ βαδίζειν.
ὠρακιῷ.

σκέλος, εος, τό = μέρος τοῦ σώματος (τοῖς σκέλεσιν βαίνομεν)
διεληλυθώς ← διέρχομαι = διά + ἔρχομαι
βαδίζω = βαίνω

ναυτιάω = ἀλγῶ καὶ ἰλιγγιῶ ἐπὶ νηΐ ὢν (← ναῦς, ἡ)
δήπου = δή + που



κόρυζα, ης, ἡ — ὡρακιάω

Ζεῦ σῶσον! = ὁ Θεὸς σωσάτω σε ἐκ τῆς κορύζης
ὀφθαλμιάω = ἀλγῶ τοὺς ὀφθαλμούς
κέκμηκας ← κάμνω, καμοῦμαι, ἔκαμον, κέκμηκα = πόνος ἐστί μοι

4 *ὑγίαινε!*

ὑγίαινε!
ἀλλ’ εἶμι, σὺ δ’ ὑγίαινε!
καὶ σύγε!
χαῖρε πολλά!
ἔμβαλέ μοι τὴν δεξιάν!
τοὺς θεοὺς εὔχομαί σοι διδόναι πολλὰ κἀγαθά.
τοὺς θεοὺς εὔχομαί σοι διδόναι ὑγίειαν καὶ σωτηρίαν καὶ ἀγαθὰ πολλά.
ἀλλὰ χαῖρε πολλὰ καὶ μέμνησό μου!
εἰς αὖθις!
ἴθι χαίρων!
ὑγίαινε! καὶ τῇ ἄρχῃ τῆς ἡμέρᾳ λέγει τις λείπων τὴν οἰκίαν
εὐψύχει!
κούφα σοι χθὼν ἐπάνωθε πέσοι.

ὑγιαίνω = οὐ νοσῶ. λέγομεν δὲ τὸ “ὑγίαινε!” πρός τινα λείποντες τὸν τόπον ἢ τὴν οἰκίαν ἡμῶν
ἐμβάλλω = ἐν + βάλλω



χείρ, ἡ — εὔχομαι

κἀγαθά = καὶ ἀγαθά
ὑγίεια, ἡ = τὸ ὑγιαίνειν
σωτηρία, ἡ = τὸ σῴζεσθαι
εἰς αὖθις = ὀψόμεθα ἀλλήλους
μιμνήσκω, μνήσω, ἔμνησα, μέμνημαι, ἐμνήσθην = πάλιν καλῶ τι εἰς τὸν νοῦν
εὐψυχέω = εὖ ἔχω τὴν ψυχήν (← εὖ + ψυχή, ἡ). λέγομεν τοῦτο καὶ τὸ ἑπόμενον τῷ τεθνηκότι
κοῦφος, η, ον = οὐ βαρύς
χθών, ἡ, χθονός = ἡ γῆ
ἐπάνωθε = ἐν τοῖς ἄνω μέρεσιν

5 *ἀντιβολῶ!*

ἀντιβολέω = αἰτέω

συγγνώμην ἔχε!
σύγγνωθί μοι!
ἐστὶ τὸ ἐμόν. ἀλλὰ δός μοι, ἀντι-
βολῶ!
δός μοι πρὸς τῶν θεῶν!
πρὸς τοῦ Διός, ἀντιβολῶ σε!
πρὸς πάντων θεῶν!
ἀλλὰ μένε καὶ μὴ ἄλλως ποίει!
χάρισαί μοι!
ἀλλὰ χάρισαι ἡμῖν!
χάρισαι βραχύ τί μοι!
τί σοι χαρίσωμαι;
βούλει μοι δοῦναι;
χαριοῦμαί σοι τοῦτο.
ταῦτα!
φθόνος οὐδείς!
οὐ δῆτα γενναίως τοῖς ἄλλοις ἐρεῖς;
εἰπὲ δῆτα αὐτῷ πρὸς τῶν θεῶν!
βούλει ἐγχέω σοι πιεῖν;

συγγνώμην ἔχε = σύγγνωθί μοι = μὴ γνῷς με αἴτιον ὄντα. σύν + γιγνώσκω → συγγνώμη

χαρίζομαι = λέγω ἢ ποιῶ ἡδύ τι (← χάρις, ἡ)

ταῦτα! = ταῦτα ἔσται

φθόνος οὐδείς! = ποιήσω

φθόνος, ὁ = τὸ τὰ τῶν ἄλλων βούλεσθαι

δῆτα = δή
γενναίως ← γενναῖος, α, ον = καλὸς καὶ ἀγαθός


Γανυμήδης ἐγχεῖ Διὶ πιεῖν (← ἐγχέω)

6 *ἐπαινῶ!*

ἐπαινέω = λέγω καλὰ περί τινος

ἐπαινῶ!
ἐπαινῶ τὸ σόν!
ἐπαινῶ τὴν σὴν πρόνοιαν.
εὖ γ' ἐποίησας!
γενναῖος εἶ.
χάριν γε εἴσομαι, ἐὰν τοῦτο ποιῇς.
κεχάρισαί μοι.
πόλλ' ἀγαθὰ γένοιτό σοι!

πρόνοια, ἡ = τὸ ἐν νῷ ἔχειν τι πρὸ τοῦ καιροῦ

εἴσομαι ← οἶδα

καλῶς!
κάλλιστα· ἐπαινῶ.
εὖγε! εὖγε!
ὡς ἡδύ!
ἀλαλαί!
οὐδὲν διαφέρει.
ὀλίγον μέλει μοι.
τί δ’ ἐμοὶ ταῦτα;
τί σοὶ τοῦτο;
σοὶ δ’ ἴσως οὐδὲν μέλει.
αὐτὸς σκόπει σύ!
νόμος γάρ ἐστιν.

ἀλαλαί · τοῦτο λέγομεν διὰ πολλὴν ἡδονήν

μέλει, μελήσει, ἐμέλησε, μεμέληκε · μέλει μοι = περὶ πολλοῦ ποιοῦμαι

ἴσως (← ἴσος, η, ον) = ἐάν πως

7 *ἐπίστασαι ἑλληνίζειν;*

ἐπίσταμαι = ἐπιστήμην ἔχω, οἶδα
ἑλληνίζω = λαλῶ ἑλληνιστί ἢ ἑλληνικῶς, τοῦτ’ ἔστι τῇ γλώσσῃ τῆς Ἑλλάδος

πότερον θέλεις ῥωμαϊστὶ λαλεῖν ἢ ἑλληνιστί;
ἐπίστασαι ἑλληνίζειν;
ὀλίγον τι.
εἰκότως γε!
μάλιστα!
ἔγωγε νὴ Δία!
ταύτῃ κράτιστός εἰμι.
καλῶς!
διαλεχθῶμεν οὖν ἑλληνικῶς!
οὐδὲν κωλύει.
ἀρξώμεθα!
τί λέγεις;
ξυνίης τὰ λεγόμενα;
ξυνῆκας, ὃ λέγω;
οὐ ξυνίημι μὰ Δία.
αὖθις ἐξ ἀρχῆς λέγε, ἀντιβολῶ.[§5]
βούλει σχολαίτερον λέγειν;

ῥωμαϊστί = τῇ γλώσσῃ τῆς Ῥώμης

εἰκότως (← ἔοικα) = ὡς ἔοικε

νὴ Δία = ναί

κράτιστος, η, ον = μάλα κρατῶν

διαλέγομαι (← διά + λέγω) = σὺν ἄλλῳ λαλῶ

συνίημι (← σύν ἵημι) = τῇ γνώμῃ αἰσθάνομαι

μὰ Δία = πρὸς τοῦ Διός

σχολαῖος, α, ον = οὐ ταχύς

8 ἐρωτήματα.

ἐρώτημα, τό ← ἐρωτάω

τί δ' ἔστιν;
τί λέγεις;
τί δή;
τί δαί;
πῶς δή;
πῶς δαί;
ὁτιὴ τί δή; τιὴ τί δή;
τίνος ἕνεκα;
τίνι τρόπῳ;
πῶς δή;
ποῦ δῆτα;[§5]
ποῖ;
πόθεν;
πηνίκα;
κολάζει αὐτόν.
τί δράσαντα;
τί δρῶν;
ἵνα δὴ τί;
τί τὸ πρᾶγμα;
οὐ καὶ σοὶ δοκεῖ;
πῶς φῄς;
τί ἐγὼ δέ;
φέρ' ἴδω!
τί δέ, ἐπιδόσεις λαμβάνεις;

δαί = δή

ὁτιή = ὅτι ἤ. τιή = τί

ποῖ; = εἰς ποῖον τόπον;

πόθεν; = ἐκ ποίου τόπου;

πηνίκα; = πότε;


κολάζω

τί δράσαντα; = τί ὁ κολαζόμενος ἔδρασεν;
τί δρῶν; = τί δρᾷ κολάζων αὐτόν;
ἵνα δὴ τί; = ἵνα τί γένηται;

φέρ' ἴδω! = ἔασόν με ἰδεῖν!

ἐπίδοσις, εως, ἡ = συμφέρον ἢ χρήσιμόν τι δεδομένον τινί (← ἐπί + δίδωμι)

λαμβάνω ἐπιδόσεις = τὸ πρᾶγμά μου βέλτιον ἔχει

9 ὄνομά σοι τί ἐστιν;

ὄνομά σοι τί ἐστιν;
τίνα σοι ὀνόματα;
τί σοί ποτ' ἔστ' ὄνομα;
σὺ δὲ τίς εἶ;

τίς δ’ εἶ σύ;
σὺ δ’ εἶ τίς ἐτεόν;
ὄνομά μοι Μύλλερος.
τίς ποθ’ ὅδε;
τίς ἄρα ποτ’ ἐστίν;
καὶ ποδαπός;
ποῦ κατοικεῖς;
ἐγγύτατα οἰκῶ.
τηλοῦ οἰκῶ.
μὴ κάλει μου τοὔνομα!
οὐ μὴ καλεῖς με; ἱκετεύω!

ἐτεόν = ἀληθῶς (← ἀληθής, ές)

ποδαπός, ή, όν; = ἐκ τίνος χώρας, πόθεν; [§8]

ἐγγύς, ἐγγυτέρω, ἐγγύτατα = πρὸς τούτῳ τῷ τόπῳ

τηλοῦ = ἐν χώρᾳ μακρᾷ

ἱκετεύω = αἰτῶ

10 τίς ὥρα ἐστίν;



ὥρα, ἡ · εἰσὶν εἴκοσι τέσσαρες ὧραι ἐν μίᾳ ἡμέρᾳ

ὡρολόγιον, τό

τίς ὥρα ἐστίν;
πηνίκ’[§8] ἐστὶ τῆς ἡμέρας;
ἐστὶ μία ὥρα.
εἰσὶ δύο (τρεῖς, τέτταρες) ὧραι.
ἐστὶ μία ὥρα καὶ ἡμίσεια.
πηνίκα;
τῇ πρώτῃ ὥρᾳ.
τῇ δευτέρᾳ (ὥρᾳ).
περαιτέρω ἐστίν.
εἰσὶν ἑπτὰ ὧραι καὶ τέταρτον.
εἰσὶ δώδεκα (ὧραι) καὶ τρία τέταρτα.
περὶ τὴν τρίτην ὥραν.
περὶ τὴν τετάρτην καὶ ἡμίσειαν.
ἥξω εἰς τὴν δεκάτην καὶ τρία τέταρτα.

ἥμισυς, εια, υ = ὢν εἷς ἐκ δύο ἴσων μερῶν

περαιτέρω (← περαίτερος, α, ον ← πέρα) = ὕστερον



τετάρτη καὶ ἡμίσεια



δεκάτη καὶ τρία τέταρτα

11 μέρη τῆς ἡμέρας.

ἐξ ἑωθινοῦ.
ἐξ ἕω.
ἕωθεν εὐθύς.
φῶς ἐστιν.
ἕωθεν.
αὔριον[§2] ἕωθεν.
ἐν μεσημβρίᾳ.
πρὸ μεσημβρίας.
μετὰ μεσημβρίαν.
σκότος γίγνεται.
ἐν (τῷ) σκότῳ.
εἰς ἑσπέραν.
τῆς ἑσπέρας.
ἑσπέρας.
νύκτωρ ὀψέ.
δι᾽ ἡμέρας.
ὅλην τὴν νύκτα.
τῇδε τῇ ἡμέρᾳ — τήμερον.[§2]
χθές, ἐχθές.[§2]
αὔριον.
ἔνης, εἰς ἔνην.
τρίτην ἡμέραν. (νεωστί.)



ἕως, ἕω, ἡ   μεσημβρία, ἡ



ἑσπέρα, ἡ   νύξ, νυκτός, ἡ

ἑωθινός, ή, όν = τῆς ἕω ὢν
ἐξ ἑωθινοῦ = ἐξ ἕω
ἕωθεν = ἐξ ἕω
σκότος, ὁ ↔ φῶς, τό


ἑσπέρας = ἐχθὲς ἑσπέρας

νύκτωρ = τῆς νυκτός
ὀψέ = ὕστερον
ἔνη, ἡ = ἡ μετὰ τὴν αὔριον ἡμέρα
ἡ τρίτη ἡμέρα = ἡ πρὸ τῆς χθές ἡμέρα

ἡ τρίτη ἡμέρα



→ σήμερον



→ ἡ ἔνη



νεωστί ← νέος, νέα, νέον

12 ὁ νῦν χρόνος. ἑορταί.

ἐν τῷ νῦν χρόνῳ.
ὥσπερ καὶ πρὸ τοῦ.
ἐς τίνα ἡμέραν;
ἐς αὐτίκα μάλα.
τὸ ἔναγχος.
ἱκανὸν χρόνον.

ἑορτή = ἱερὸς χρόνος τοῦ τιμᾶν τοὺς θεοὺς ἢ τὸν ἀληθῆ Θεόν ἢ καὶ ἄνθρωπον
ἔναγχος = πρὸ ὀλίγου χρόνου

μεθ᾽ ἡμέρας πεντεκαίδεκα ἀπὸ τῆς τήμερον.
τῆτες.
πέρυσιν.
εἰς νέωτα.
δι᾽ ἔτους πέμπτου.
κατὰ μῆνα.
τὸ ἔαρ. τὸ θέρος.
τὸ φθινόπωρον. ὁ χειμών.
χειμῶνος ὄντος.
ἡ ἑορτή.
τὰ Χριστούγεννα.*
ἡ πρώτη τοῦ ἔτους.
αἱ ἀπόκρεω.*
ἡ μεγάλη παρασκευή.*
τὸ πάσχα.*
ἡ πεντηκοστή.
τὰ γενέθλια.
οἶδα τὴν τήμερον (αὔριον) ἡμέραν οὖσαν γενέθλιόν σου.
ἡ ἐπέτειος ἑορτή.
οἱ μῆνες· Ἰανουάριος. Φεβρουάριος. Μάρτιος. Ἀπρίλιος. Μάϊος. Ἰούνιος. Ἰούλιος. Αὔγουστος. Σεπτέμβριος. Ὀκτώβριος. Νοέμβριος. Δεκέμβριος.

τῆτες = ἐν τῷδε τῷ ἔτει
πέρυσιν = ἐν τῷ παρελθόντι ἔτει
νέωτα = νέον ἔτος
δι᾽ ἔτους πέμπτου · 2018, 2022, 2026...
μείς, μηνός, ὁ · εἰσὶν δώδεκα (12) μῆνες ἐν ἑνὶ ἔτει



ἔαρ, ἔαρος, τό


θέρος, εος, τό


φθινόπωρον, τό


χειμών, ῶνος, ὁ


τὰ Χριστούγεννα*


τὸ πάσχα*


αἱ ἀπόκρεω = αἱ ἀπόκρεως ἡμέραι (ἀπόκρεως,* ω, ἡ)


ἡ μεγάλη παρασκευή = ἡ τρίτη ἡμέρα πρὸ τοῦ πάσχα (παρασκευή, ἡ ← παρασκευάζω)
πεντηκοστή, ἡ = ἡ ἑορτὴ ἡ πεντήκοντα (50) ἡμέρας μετὰ τὸ πάσχα
γενέθλιος, ον = τῆς ἡμέρας ὢν ὁποτέ τις ἐγένετο
ἐπέτειος, ον = ἐπὶ ἔτει ὤν

13 ὁ ἀήρ.

ποῖος ὁ ἀὴρ τὸ νῦν;
τί γὰρ ὁ Ζεὺς ποιεῖ;
εὐδία ἐστίν.
εὐδία ἐστὶν ἡδίστη.
ἐξέχει εἵλη. ἔχομεν ἥλιον. φαίνεται ὁ

ἀήρ, ἀέρος = ὁ περὶ τὴν γῆν
εὐδία, ἡ ← εὖ + Ζεύς


εἵλη, ἡ



ἄνεμος, ὁ,


ἐξέχω ← ἐκ, ἐξ + ἔχω
λάμπω = φῶς δίδωμι

ἥλιος. ἥλιος λάμπει.
θάλπος ἐστίν.
ἄνεμος γίγνεται.
ἄνεμος πνεῖ μέγας.
ἄνεμος γίγνεται βόρειος, νότιος, ἀνατολικός, δυτικός.
ξυννεφεῖ.
ψακάζει.
ὕει.
ὄμβρος πολὺς γίγνεται.
βροντᾷ.
βρονταὶ γίγνονται καὶ κεραυνοί.
ἀστράπτει πολὺ νὴ Δία.[§7]
ἔπεσε σκηπτός. ἔπεσε κεραυνός.
ψῦχός ἐστιν. (ψ. ἐστι μέγιστον.)
νίφει· βαβαιάξ!
χιὼν γίγνεται πολλή.
κρύος γίγνεται.
τί πάλιν ξυνάγεις τὸ σκιάδειον;
ἐκπέτασον αὐτό!
φέρε τὸ σκιάδειον!
ὑπέρεχέ μου τὸ σκιάδειον.
τὸν πηλὸν τουτονὶ φύλαξαι!


νίφω · ὅταν ψῦχος ᾖ, οὐχ ὕει ἀλλὰ νίφει = χιὼν (χιών, όνος, ἡ) γίγνεται
κρύος, εος, τό = μέγα ψῦχος
ἐκπετάννυμι, ἐξεπέτασα, ἐκπετάσω, ἐκπέπταμαι, ἐκπεπέτασμαι, ἐκπετάσθην
ὑπερέχω = ἔχω τι ὑπέρ τινος (← ὕπερ + ἐχω)
πηλός, ὁ · ὅταν ὕῃ, ἡ γῆ μετὰ τοῦ ὕδατος γίγνεται πηλός

θάλπος, εος, τό = εἵλη, ἡ
πνέω → πνεῦμα, ατος, τό






ξυννεφεῖ (← συννεφέω) ψακάζει (← ψακάζω)




ὕει (← ὕω) ὄμβρος, ὁ



ἀστράπτει (← ἀστράπτω) κεραυνός, ὁ σκηπτός, ὁ

βροντή, ἡ · μετὰ τὸν κεραυνὸν ἀκούεται ἡ βροντή (← βροντάω)
ψῦχος, εος, τό ↔ θάλπος, εος, τό
βαβαιάξ = νὴ Δία



ἐκπετάννυμι (↔ συνάγω ← σύν + ἄγω) τὸ σκιάδειον

14 *ἔξοδος.*

ἆρ' ἔχεις ἐφόδιον ἱκανὸν;
πότε ἄπει εἰς Βερόλινον* (Λόνδινον, Βιέννην, Γαστάϊν*, Παρισί-

ἔξοδος, ἡ = τὸ ἔξω ἰέναι (← ἐκ, ἐξ + ὁδός, ἡ)
ἐφόδιον, τό = ὃ δεῖ ἔχειν ἐπὶ τῆς ὁδοῦ, ὥσπερ τὸ ἀργύριον (← ἐπί + ὁδός, ἡ)
Βερόλινον κ.τ.λ. · ὅρα τὸ σχῆμα 1



σχῆμα 1: ἡ Εὐρώπη ἐν τῷ ἔτει 1911

ους, Πετρούπολιν*, εἰς Ἑλβητίαν, Κίσσιγγεν*, Δρέσδην*, Βρυξέλας* Μόναχον*);
τῇ δωδεκάτῃ Νοεμβρίου.
εἰς Λεψίαν* οὔπω ἐλήλυθας;
ἐν τῷ ἀναπαύλης χρόνῳ ἐπιθυμῶ ἐλθεῖν εἰς ἀγρόν.
τίς σοι γενήσεται πόρος τῆς ὁδοῦ;
τῇ τετάρτῃ ὥρᾳ[§10] χρώμενος τῇ ἁμαξοστοιχίᾳ.*
ὥρα βαδίζειν[§3] ἄρ᾽ ἐστίν.
ὥρα ἐστὶν εἰς τὸν (σιδηροδρομικόν*) σταθμὸν βαδίζειν.
ὥρα ἦν πάλαι.
ἀλλ᾽ ἴθι χαίρων!
χαῖρε καὶ σύ!
οἴχεται.
ὁ ἐμὸς ἀδελφὸς πέντε μῆνας[§12] ἄπεστιν.
ἀποδημῶν ἐστιν.

δωδέκατος, η, ον ← δύο + δέκατος

οὔπω ↔ οὐκέτι

ἀνάπαυλα, ης, ἡ ↔ πόνος, ὁ
ἐπιθυμέω = μάλα βούλομαι
ἀγρός, οῦ, ὁ ↔ πόλις, πόλεως, ἡ
πόρος, ὁ = τὸ διὰ οὗ τις διέρχεται [§3]


ἡ ἁμαξοστοιχία* ἐστὶν ἐν τῷ σιδηροδρομικῷ* σταθμῷ

πάλαι (← παλαιός, ά, όν) ↔ νεωστί [§11]
οἴχεται = ἀπέρχομαι (← ἀπό + ἔρχομαι)

ἄπειμι ← ἀπό + εἰμί
ἀποδημέω (← ἀπό + δῆμος, ὁ) = ἄπειμι

15 *τὸ ἔρχεσθαι. ἡ ὁδός.*

ἕπου!
ἕπου μετ᾽ ἐμοῦ!
ἔστ᾽ οὐ μακρὰν ἄποθεν ὁ σταθμός.
ἄγε νυν ἴωμεν.
ἀπίωμεν.
χωρῶμεν.
χώρει!
προίωμεν ὑμῶν.
ἁμάξῃ χρήσομαι.
ἐγὼ μὲν οὖν χρήσομαι τῷ

μακράν ← μακρός, ά, όν
ἄποθεν = ἀπὸ τούτου τοῦ τόπου
χωρέω = πορεύομαι
προέρχομαι = ἔρχομαι πρό τινος (← πρό + ἔρχομαι)


ὀχοῦνται (← ὀχέω) ἐπὶ τῆς ἁμάξης (← ἅμαξα, ἡ)
λεωφορεῖον,* τό

λεωφορείῳ.*
βαδίζω[§3] ἔγωγε.
ὀχεῖ.
φράζε, ὅπῃ τάχιστα ἀφιξόμεθα εἰς τὸν σταθμόν;
οὐ δυνάμεθα ἐξευρεῖν τὴν ὁδόν.
οὐκέτι οἶδα, ποῦ γῆς ἐσμεν.
τῆς ὁδοῦ ἡμάρτηκας.
ὦ φίλοι θεοί!
ἴθι τὴν ὁδὸν ταυτηνὶ καὶ εὐθὺς ἐπὶ τὴν ἀγορὰν ἥξεις.
εἶτα τί;
εἶτα βαδιστέα σοι ἐπὶ δεξιά (ἐπ’ ἀριστερά).
ὀρθήν!
πόση τις ἡ ὁδός;
καλῶς.
ἀλλὰ σπεύδωμεν.
χώρει![§15]
ὕστερον ἤλθομεν τοῦ δευτέρου σημείου.

ὅπῃ = πῶς

ἐξευρίσκω ← ἐκ, ἐξ + εὑρίσκω


ἀγορά, ἡ

βαδιστέα (← βαδιστέον) = δεῖ βαδίζειν
δεξιός, ά, όν ← δεξιά, ἡ [§4]
ἀριστερός, ά, όν ← ἀριστερά, ἡ [§4]

ὀρθήν = ἐπὶ τὴν ὀρθὴν ὁδόν
πόσος, η, ον (← ὅσος, η, ον) · πόσος; = τίς ἐστιν ὁ ἀριθμὸς ἢ τί ἐστι τὸ μέγεθος;
σπεύδω = ταχὺ ποιέω ἢ ἔρχομαι

χωρέω = πορεύομαι

16 μεῖνον!

ἐπίσχες, οὗτος!
ἔχε νυν ἥσυχος!
μέν’ ἥσυχος! στῆθι!
κελεύει σε Κάρολος περιμεῖναι.
ἔχ’ ἀτρέμας αὐτοῦ!
οὐ μενεῖς;
ἐπανάμεινόν μ’ ὀλίγον χρόνον.
ἀλλ’ ἥξω ταχέως.

ἐπίσχω (← ἐπί + ἔχω) = μένω

ἥσυχος, ον ↔ κινούμενος

περιμένω = περί + μένω
ἀτρέμας = ἡσύχως

ἐπαναμένω (← ἐπί + ἄνα + μένω) = μένω τινὰ διὰ μακροτέρου χρόνου

ποῦ ἀναμενῶ;
ἧκέ νυν ταχύ!
οὗτος ὄπισθεν προσέρχεται.
ἀλλὰ περιμενοῦμεν.
ἰδού, πάρειμι.
ἥκεις;
μῶν ἐπισχεῖν σοι δοκῶ;
ποῦ ποτ’ ἦσθα ἀπ’ ἐμοῦ (ἀφ’ ἡμῶν)
τὸν πολὺν τοῦτον χρόνον;

ἀναμένω (← ἄνα + μένω) = μένω
ὄπισθεν = ἐπί τινι
προσέρχομαι ← πρός + ἔρχομαι
περιμένω (← περί + μένω) = μένω
μῶν = μὴ οὖν

17 *δεῦρ’ ἐλθέ!*

δεῦρ’ ἐλθέ!
ἐλθὲ δεῦρο!
χώρει[§15] δεῦρο!
βάδιζε[§3] δεῦρο, ὡς ἐμέ!
ἥκεις ὥσπερ κατὰ θεῖον.
πόθεν[§8] ἥκεις;
ἀτὰρ πόθεν ἥκεις ἐτεόν;[§9]
ἐκ Μυλλέρου ἔρχομαι.
εἴσιθι ἅμ’ ἐμοί.
δέομαί σου παραμεῖναι ἡμῖν.
ἀλλ’ οὐχ οἷόν τε!
ποῖ[§8] βαδίζεις;
οὐ παραμενεῖς;
οὐ σ’ ἀφήσομεν.
βούλομαι εἰς τὸ κουρεῖον.
οὐκ ἀφήσομέν σε μὰ Δία[§7] οὐδέποτε.
μέθεσθέ μου!
ἴτε δεῦρ’ ὡς ἐμὲ[§17] ταχέως.
εἰς ἑσπέραν[§11] ἥξω.
φροῦδός ἐστιν.

δεῦρο = πρὸς τούτον τὸν τόπον
ὡς ἐμέ = πρὸς ἐμέ
θεῖος, α, ον = τοῦ θεοῦ ὤν
τὸ θεῖον = ὁ θεός
ἀτάρ = ἀλλά
εἰσέρχομαι ← εἰς + ἔρχομαι
δέομαί σου = αἰτῶ παρὰ σοῦ
παραμένω (← παρά + μένω) = μένω παρά τινος


κουρεῖον, τό

μεθίημι (← μετά + ἵημι) = ἀφίημι
φροῦδος, η, ον = ἀπεληλυθώς (← ἀπέρχομαι [§14]

ποῖ[§8] γὰρ οἴχεται;[§14]
εἰς τὸ κουρεῖον οἴχεται.
οἴκαδ’ ἔρχεται.
ἀπίωμεν οἴκαδ’ αὖθις.
ἀπαντῆσαι αὐτοῖς βούλεται.
ξυνήντησεν αὐτῇ.
ποῖ ἀπαντησόμεθα;
ἐνθάδε.[§3]

οἴκαδε = εἰς τὴν οἰκίαν

ἀπαντάω = ἔρχομαι πρός τινα ὥστε ἰδεῖν αὐτόν
συναντάω = ἀπαντάω

18 *φέρε ζῦθον!*



ἔκπωμα ζύθου (ἔκπωμα, ατος, τό = ποτήριον, τό) (ζῦθος, ου, ὁ)

παῖ! παῖ!
οὐ περιδραμεῖταί τις δεῦρο[§17] τῶν παίδων;
οὗτος σὺ, παῖ, ποῖ θεῖς; – Ἐπ’ ἐκπώματα.
ἐλθὲ δεῦρο!
ἔνεγκέ μοι ταχέως ζῦθον καὶ λαγῷα.
ταῦτα,[§5] ὦ δέσποτα.
ἰδού, ἅπαντ’ ἐγὼ φέρω.
ὡς ἡδὺς ὁ ζῦθος!
οὐκ ἀρέσκει με.
ὄζει πίττης ὁ ζῦθος ὀξύτατον.
φέρε σὺ ζῦθον ὁ παῖς – πάσῃ τέχνῃ!
οὐ θᾶττον ἐγκονήσεις;
κακῶς ἐπιμελεῖ ἡμῶν!
παῖ, ἕτερον ἔγχεον![§5]
ἔγχει κἀμοί!
εἰς ἑσπέραν[§11] μεθυσθῶμεν διὰ χρόνου.
κακὸν τὸ πίνειν!
κραιπάλη γίγνεται ἀπὸ τοῦ ζύθου.

τρέχω, δραμοῦμαι, ἔδραμον = ταχέως ἔρχομαι τοῖς ποσίν
περιτρέχω ← περί + τρέχω

θέω = τρέχω


λαγώς, λαγώ, ὁ. → λαγῷος, α, ον. τὰ λαγῷα = τροφὴ ἐκ λαγώ

ἀρέσκω, ἀρέσω, ἤρεσα = ἡδύς εἰμί τινι


ποιοῦσι τὴν ὅδον τῇ πίττῃ (← πίσσα, ἡ)


ἡδὺ ὄζει (← ὄζω)

θᾶττον (← θάσσων, θάττων) = μᾶλλον ταχύ
ἐγκονέω = σπεύδω [§15]
ἐπιμελέομαι = περὶ πολλοῦ ποιοῦμαι
κἀμοί = καὶ ἐμοί
μεθύσκω, ἐμέθυσα · ὁ πολὺν ζῦθον πιὼν μεθύσκεται

κραιπάλη, ἡ = τὸ μεθύσκεσθαι

ἐπὶ ζῦθον εἶμι.
καλῶ (καλέσω) σε, εἴ τι δέοι. (ἐάν τι δέῃ).
ἕτερον ἰὼν κομιοῦμαι.
ἰδού, τουτὶ λαβέ
καλῶς. εὐεργετήσω σε.
οὐχ οἷός τ' εἰμὶ ἐνθάδε[§3] μένειν.
ὁ καπνὸς δάκνει τὰ βλέφαρά μου.
ἤ πίθι ἤ ἄπιθι![§14]
ἕπου μετ' ἐμοῦ.
ὁ καπνός μ' ἐκπέμπει.
παῖ, λόγισαι ταῦτα.
εἴχετε ζύθου ἕξ (ποτήρια) καὶ λαγῷα[§18] καὶ ἄρτον · γίγνονται οὖν ἡμῖν δύο μάρκια* καὶ ἡμίσεια.[§10]
ἰδού, λαβέ.
σφαλλόμενος ἔρχομαι.

τουτί = τοῦτο

εὐεργετέω (← εὖ + ἔργον, τό)= εὖ ποιῶ


δάκνει τὴν χεῖρα (δάκνω, δήξομαι, ἔδακον, δέδηγμαι, ἐδήχθην, δαχθήσομαι)


καπνός, ὁ


ἄρτος, ὁ


τὰ βλέφαρα = οἱ ὀφθαλμοί
ἐκπέμπω ← ἐκ + πέμπω
λογίζομαι = λόγον ποιῶ, νομίζω
μάρκιον, τό = τὸ παλαιὸν ἀργύριον τῆς Γερμανίας [ὅρα τὸ σχῆμα 1]
σφάλλω = ποιῶ τινα πεσεῖν.

19 πεινῶ.

λιμός με λαμβάνει.
οὐκ ἔχω καταφαγεῖν.
βουλιμιᾷ.
ἀπόλωλα ὑπὸ λιμοῦ.
φέρε τί σοι δῶ φαγεῖν; (πιεῖν;)
δός μοι φαγεῖν!
βαδιοῦμαι[§3] ἐπὶ δεῖπνον.
οὔπω[§14] δεδείπνηκας;
μὰ Δι'[§7] ἐγὼ μὲν οὔ.
δεῖ με χωρεῖν[§15] ἐπὶ δεῖπνον.
ἀλλ' ἐπὶ δεῖπνον ταχὺ βάδιζε!
ἐπὶ δεῖπνον ἔρχεται.
τὸ δεῖπνον ἐστ' ἐπεσκευασμένον.



ἐσθίω, ἔδομαι, ἔφαγον, ἐδήδοκα

πεινάω · ὅταν τις διὰ χρόνου μὴ φάγῃ, πεινᾷ
λιμός, οῦ, ὁ = τὸ πεινᾶν
κατεσθίω (← κατά + ἐσθίω) = ἐσθίω πάντα
βουλιμιάω = ὡς μάλιστα ἐσθίω
φέρε τί σοι κ.τ.λ. · βούλει με φέρειν τι ἵνα φάγῃς; (πίῃς;)
δεῖπνον, τό · ὅταν οἱ ἄνθρωποι τῆς ἑσπέρας [§11] ἐσθίωσιν, [§19] δειπνῶσιν (← δειπνέω)
ἐπισκευάζω = παρασκευάζω



σχῆμα 2: α’ γεώμηλον, τό · β’ λαχανικόν, τό · γ’ χοῖρος, ὁ · δ’ ἀρήν, ἀρνός, ὁ · ε’ ἔριφος, ὁ · ϛ’ κωλῆ, ἡ · ζ’ ὄρνις, ὄρνιθος, ἡ · η’ ἔγχελυς, εως, ἡ · θ’ κίχλη, ἡ · ι’ κατάχυσμα, ατος, τό · ια’ χορδή, ἡ · ιβ’ ἔτνος, εος, τό · ιγ’ πίσος, ὁ, · ιδ’ πυρός, ὁ · ιε’ τυρός, ὁ · ιϛ’ πόπανον, τό · ιζ’ πλακοῦς, οῦντος, ὁ · ιη’ πίων, ὁ, ἡ, πῖον, πίονος

τὸ κύπελλον.
τὸ λεκάνιον.
τὸ τρυβλίον.
τὸ μαχαίριον.
τὸ περόνιον.*
τὸ χειρόμακτρον.



α’ κύπελλον, τό. β’ λεκάνιον, τό. γ’ τρυβλίον, τό. δ’ μαχαίριον, τό. ε’ περόνιον,* τό. ϛ’ χειρόμακτρον, τό

20 *τὸ δεῖπνον.*

ἐπ’ ἄριστον καλῶ σε.
ἐπ’ ἄριστον μ’ ἐκάλεσεν.
εὐωχησόμεθα ἡμεῖς γε.
ἐλογιζόμην[§18] ἐγώ σε παρέσεσθαι.
ἀριστᾷ.
πάρεστι κρέα ὠπτημένα.
γεώμηλα* καὶ λαχανικόν.*
(κρέα) μόσχεια.

ἄριστον, τό · ὅταν οἱ ἄνθρωποι περὶ τῆς μεσημβρίας ἐσθίωσιν, ἀριστῶσιν (← ἀριστάω)

εὐωχέω = παρέχω μέγα ἄριστον ἢ δεῖπνον

κρέας, τό = τροφὴ πεποιημένη ἐκ τῶν σωμάτων τῶν ζῴων

ὀπτάω = παρασκευάζω τὸ κρέας τῷ πυρί

μόσχειος, ον ← μόσχος, ὁ, ἡ = νέος βοῦς

βόεια.
χοίρεια.
πάρεστι (κρέα) ἄρνεια μετὰ γεωμήλων.*
ἐρίφεια.
κωλῆ.
λαγῷα.[§18]
ὀρνίθεια.
ἐγχέλεια.
οὐ χαίρω ἐγχέλσιν, ἀλλ' ἥδιον ἂν φάγοιμι[§19] ὀρνίθεια.
ταῦτα γὰρ ἥδιστ' ἐσθίω.
τοῦτο χθὲς[§2] ἔφαγον.
φέρε δεῦρο[§17] κίχλας ἐμοί!
γεῦσαι λαβών!
φάγε τουτί![§18]
μὰ τὸν Δία,[§7] οὐ γὰρ οὐδαμῶς μοι σύμφορον.
ἔντραγε τουτί!
οὐ προσαναγκάζομεν οὐδαμῶς.
τὰ κρέα ἥδιστά ἐστιν.
ὡς ἡδύ!
ὡς ἡδὺ τὸ κατάχυσμα!
ἓν ἔτι ποθῶ.
δός μοι δῆτα[§5] ὀλίγον τι ἄρτου!
καὶ χορδῆς τι καὶ ἔτνος πίσινον.
τὸ ἐπίδειπνον.
τί ἐπιδειπνήσομεν;
παράθες ἔτι ὀλίγον τι ἄρτου[§18] πυρίνου μετὰ τυροῦ ἐλβητικοῦ!
πόπανα πέττεται.
λαβὲ καὶ πλακοῦντος πίονος τόμον.
κάλλιστα· ἐπαινῶ.[§6]
κἀμοί[§18] γ' ἅλις.

βόειος, α, ον ← βοῦς, ὁ, ἡ
χοίρειος, α, ον ← χοῖρος, ὁ
ἄρνειος, α, ον ← ἀρήν, ἀρνός, ὁ
ἐρίφειος, ον ← ἔριφος, ὁ
ὀρνίθειος, α, ον ← ὄρνις, ὄρνιθος, ἡ
ἐγχέλειον, τό = τὸ τῆς ἐγχέλεως κρέας (← ἔγχελυς, εως, ἡ)
γεύω = δίδωμί τι τροφῆς τινι
οὐδαμῶς = οὐδενὶ τρόπῳ
σύμφορος, ον = χρήσιμος, συνφέρων
(ἐν)τρώγω, τρώξομαι, ἔτραγον, τέτρωγμαι = ἐσθίω [§19]
προσαναγκάζω (← πρός + ἀνά + ἀνάγκη, ἡ) = ἄγω τινὰ είς τὸ ποιεῖν τι
ποθέω = μάλα βούλομαι
πίσινος, η, ον = τοῦ πίσου ὤν (← πίσος, ὁ)
ἐπίδειπνον, τό = τὸ ἐν τῷ τέλει τοῦ δείπνου
ἐπιδειπνέω = λαμβάνω τὸ ἐπίδειπνον
παρατίθημι = παρά + τίθημι
πύρινος, η, ον = τοῦ πυροῦ ὤν (πυρός, ὁ)
ἐλβητικός, ή, όν = τῆς Ἐλβετίας ὤν (← Ἐλβετία, ἡ · ὅρα τὸ σχῆμα 1)
πέσσω = παρασκευάζω πυρὶ ἄρτον ἢ πόπανον κ.τ.λ.
τόμος, ὁ = μέρος τι ὃ τέτμηται (← τέμνω)
λέγει ἐπαινῶ ὅτι οὐ βούλεται λαβεῖν
ἅλις = ἱκανόν

φέρ’ οἶνον (λευκόν, ἐρυθρόν)
ὀσμὴν ἔχει ὁ οἶνος ὁδί.
ἡδέως πίνω τὸν οἶνον τονδί.
οἶνός ἐστι περιλελειμμένος.
πόσον[§15] τι;
ὑπὲρ ἥμισυ.[§10]
τί χρήσομαι τούτῳ;
ἴθι λαβὼν τοῦτο.

οἶνος λευκὸς καὶ ἐρυθρός



(οἶνος, ὁ · λευκός, ή, όν · ἐρυθρός, ά, όν)
ὁδί = ὅδε
ὀσμή, ἡ · ἔχω ὀσμήν = ὄζω
περιλείπομαι = περί + λείπομαι


ἐν τῷ γυμνασίῳ.

21 εἰς τὸ γυμνάσιον.

γυμνάσιον, τό · ὅπου οἱ παῖδες διδάσκονται καὶ μανθάνουσιν

ἰέναι ὥρα[§10] σοί ἐστιν.
ὥρα ἐστὶν εἰς τὸ γυμνάσιον
  βαδίζειν.[§3]
ἔτι καὶ νῦν μελετῶ.
ἤδη κατέχω τὴν ἐμὴν ἀνάγνωσιν.
ἤδη ἔμαθον, ὅπερ εἴληφα.
οὐκ ἂν φθάνοις εἰς τὸ γυμνάσιον ἰών;
μή νυν διάτριβε! – σπεῦδέ[§15] νυν!
ὁ καιρός ἐστι μηκέτι μέλλειν.
μὴ φροντίσῃς.
μηδὲν δείσῃς.
μηδὲν φοβηθῇς.
χαίρετε, συμμαθηταί!
τόπον ἐμοὶ δότε ἐμόν!
τὸ βάθρον.
σύναγέ[§13] σε (σεαυτόν).
ἐμὸς ὅδε ὁ τόπος ἐστίν.

μελετάω = μανθάνω μεμνῆσθαι



ἀναγιγνώσκω (← ἀνά + γιγνώσκω, → ἀνάγνωσις, εως, ἡ) τὸ βιβλίον

φθάνω, φθήσομαι, ἔφθασα, ἔφθην = πρότερον ἔρχομαι
διατρίβω = μένω ↔ σπεύδω
μηκέτι = μή + ἔτι



φροντίζω



βάθρον, τό

συμμαθητής, οῦ, ὁ (← σύν + μαθητής, οῦ, ὁ) = οἱ ἐν τῷ αὐτῷ γυμνασίῳ παῖδες


22 ὕστερος παρών.


ἀλλ’ εὐχώμεθα![§4]
μῶν[§16] ὕστερος πάρειμι;
ὕστερος ἦλθον!
Ἄπολλον ἀποτρόπαιε! – οἴμοι κακοδαίμων.
κακοδαίμων ἐγώ!
οἴμοι τάλας!
πόθεν[§8] ἥκεις ἐτεόν;
ὕστερον αὖθις ἦλθες!
τοῦ ἕνεκα τηνικάδε ἀφίκου;
οὐ γάρ πω[§14] ἐσήμηνε τὴν ὀγδόην.
ὕστερος σὺ ἦλθες τοῦ σημείου.
μὴ ἀγανάκτει· τὸ γὰρ ὡρολόγιόν[§10] μου οὐκ ὀρθῶς χωρεῖ.[§15]
ἄληθες; ἀλλὰ δεῖξον! *οὐκ ἀληθές;*
κάθιζε! π.χ. Ἀρ., Θεσμ. 221 · Βάτρ. 197 · Νεφ. 254.

ἀποτρόπαιος, ον = ποιῶν τὰ κακὰ φεύγειν
οἴμοι · λέγομεν οἴμοι διὰ τὸν πόνον
κακοδαίμων, ον, ονος = τάλας = κακὴν τύχην πονῶν


ὁ ἄνρθοπος δίδωσι τὸ σημεῖον

τηνικάδε = τούτῳ τῷ χρόνῳ
σημαίνω, σημανῶ, ἐσήμηνα, σεσήμασμαι, ἐσημάνθην = δίδωμι σημεῖον


ἀγανακτέω


καθίζω

23 τὸ γράφειν.

φέρ’ ἴδω, τί οὖν ἔγραψες.
ἰδού.
ἐστὶ δὲ περὶ τοῦ τὰ γεγραμμένα;
φέρε τὸ βιβλίον, ἵν’ ἀναγνῶ.[§21]
φέρ’ ἴδω, τί ἔνεστιν.
ἔχεις κυκλομόλυβδον;
τὸ ῥῶ τουτὶ[§18] μοχθηρόν.
τουτὶ τί ποτ’ ἐστὶ γράμμα;
οὐκ ἐπιμελὴς εἶ.
αὐτὸς σὺ ταῦτα ἔγραφες;
συντέτακται μὲν ταῦτα ὑπ’ ἐμοῦ, δι-


κυκλομόλυβδος ὁ

μοχθηρός, ά, όν = πεπονημένος
ἐπιμελής, ές = περὶ πολλοῦ ποιούμενος
συντάσσω ← σύν + τάσσω
διορθόω = ποιῶ τι ὀρθόν
ἐπέρχομαι ← ἐπί + ἔρχομαι
παρέρχομαι ← παρά + ἔρχομαι
κοὐδέν = καὶ οὐδέν
γοῦν = γε οὖν


καθεύδω

διαπονέω ← διά + πονέω

ὥρθωται δὲ ὑπὸ τοῦ πατρός.
ἦ πάντα ἐπελήλυθας κοὐδὲν παρῆλθες;
δοκεῖ γοῦν μοι.
οὐκ ἔνεστι τοῦτο.
οὐκ ἐκάθευδον τὴν νύκτα,[§11] ἀλλὰ διεπονούμην πρὸς φῶς περὶ τὸν λόγον.
τοὺς τρόπους σου ἐπίσταμαι.
ἐνταῦθα δὶς ταὐτὸν εἶπες!
εὐθὺς ἡμάρτηκας θαυμασίως ὡς.
ἔχει τὸ σὸν εἴκοσιν ἁμαρτίας.
πολλά σε λανθάνει.

δίς = $x \times 2$

θαυμάσιος, α, ον = θαυμάζειν ποιῶν

ἁμαρτία, ἡ · ὅταν ἁμαρτάνω, ποιῶ ἁμαρτίαν τινά

24 *ἡ γραμματική.*

ἴθι νυν.
βούλομαι λαβεῖν σου πεῖραν, ὅπως ἔχεις περὶ τῶν ῾Ελληνικῶν.
ποία ἐστὶν ἡ γενικὴ ταύτης τῆς λέξεως;
ἡ ὀνομαστική, δοτική, αἰτιατική, κλητική;
μὴ δῆτα![§5]
ἡ γενικὴ τῆς λέξεως ταύτης ἄχρηστός ἐστιν.
ὀρθῶς γε!
ποῖός ἐστιν ὁ ἐνεστὼς (χρόνος) τῆς ὁριστικῆς τοῦ ῥήματος τούτου;
μνημόσυνα ταῦτα γράψομαι.
γράφομαι τοῦτο.
ἡ ὑποτακτική, εὐκτική, προστακτική.
ὁ ἀπαρέμφατος, ἡ μετοχή.

γραμματική, ἡ = ἡ τῶν γραμμάτων ἐπιστήμη ἢ τέχνη

πεῖρα, ας, ἡ · λαμβάνω πεῖραν = πειρῶμαι

λέξις, εως, ἡ (← λέγω) · ὥσπερ ὁ ἀδελφός, ἡ δόξα, τό ὕδωρ, κ.τ.λ.

ὀνομαστική, ἡ	ὁ ἀδελφός
γενική, ἡ	τοῦ ἀδελφοῦ
δοτική, ἡ	τῷ ἀδελφῷ
αἰτιατική, ἡ	τὸν ἀδελφόν
κλητική, ἡ	ὦ ἄδελφε

ἄχρηστος, ον = ᾧ οὐκ ἔξεστι χρῆσθαι

ῥῆμα, ατος, τό · ὥσπερ τὸ παύω, τὸ ἔρχομαι, τὸ ἀπόλλυμι, κ.τ.λ.

ἐνεστώς, ὁ ← ἐνίστημι = ἐν + ἵστημι

ὁριστική, ἡ · ὁ ἐνεστὼς τῆς ὁριστικῆς τοῦ παύω · παύω, παύεις, παύει, κ.τ.λ.

μνημόσυνον, τό (← μιμνήσκω) = τὸ μιμνῆσκον

ὑποτακτική, ἡ · ὥσπερ παύω, παύῃς, παύῃ, κ.τ.λ.

εὐκτική, ἡ · ὥσπερ παύοιμι, παύοις, παύοι, κ.τ.λ.

προστακτική, ἡ · ὥσπερ παῦε, παυέτω, κ.τ.λ.

ἀπαρέμφατος, ὁ · ὥσπερ παύειν

μετοχή, ἡ · ὥσπερ παύων, ουσα, ον

ὁ παρατατικός, ὁ παρακείμενος.
ὁ ὑπερσυντελικός, ἀόριστος.
ὁ μέλλων. (πρῶτος, δεύτερος.)
τὸ ἐνεργητικόν, παθητικόν.
οὐκ ὀρθῶς τονοῖς.
ἡ κεραία (ἡ ὀξεῖα, βαρεῖα, περισπωμένη).
δεῖ τοῦ ἄρθρου.

παρατατικός, ὁ · ὥσπερ ἔπαυον, ἔπαυες, κ.τ.λ.
παρακείμενος, ὁ · ὥσπερ πέπαυκα, πέπαυκας, κ.τ.λ.
ὑπερσυντελικός, ὁ · ὥσπερ ἐπεπαύκη, ἐπεπαύκης, κ.τ.λ.
ἀόριστος, ὁ · ὥσπερ ἔπαυσα, ἔπαυσας, κ.τ.λ.
μέλλων, ὁ · ὥσπερ παύσω, παύσεις, κ.τ.λ.

ἐνεργητικόν, τὸ	↔	παθητικόν, τὸ
ἔπαυσα	↔	ἐπαύσθην

τονόω · τίθημι τὰς κεραίας (← κεραία, ἡ) ἐπὶ τοὺς λόγους
ὀξεῖα, ἡ · ά. βαρεῖα, ἡ · ὰ. περισπωμένη, ἡ · ᾶ
ἄρθρον, τό = ὁ, ἡ, τό

25 οὐκ ὀρθαὶ ἀποκρίσεις.

ἀπόκρισις, ἡ · ὃ ἀποκρίνομαί ἐστιν ἡ ἀπόκρισις
προσέχω ← πρός + ἔχω

πρόσεχε τὸν νοῦν!
ἀπόκριναι, ἅττ᾽ ἂν ἔρωμαι.
ἀπόκριναι σαφῶς!
λέξον μέγα. π.χ. Ἀρ., Σφ. 963, καὶ Πλάτ., Πρωτ. 310 B.
ἀποκινδύνευε λεπτόν τι καὶ σοφὸν λέγειν.
λέγοις ἂν ἄλλο.
λέγε, ὦ ᾽γαθέ!
ἀλλ᾽ οὐκ ἔχειν ἔοικας, ὅτι λέγῃς.
τί σιωπᾷς;
εἰπέ μοι, ὅτι λέγεις.
τί ταῦτα ληρεῖς;
ἄλλως φλυαρεῖς.
οὐ ταὐτόν, ὦ τᾶν!
οὐ τοῦτ᾽ ἐρωτῶ σε.
καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι.
δι᾽ αἰνιγμῶν λέγεις.
σπουδάζεις ταῦτα ἢ παίζεις;
οὐδὲν λέγεις!
μὴ λάλει!

μέγα = φωνῇ μεγάλῃ
ἀποκινδυνεύω = λαμβάνομαι κίνδυνον, πειρῶμαι
λεπτός, ή, όν = μικρὸς ἀλλὰ λαμπρός
σιωπάω = σιγάω = οὐ λέγω
ληρέω = οὐ σοφῶς λέγω ἢ πράσσω
φλυαρέω = λαλῶ οὐκ ἔχων οὐδένα νοῦν
τάν = ἄνθρωπε
ἐπερωτάω ← ἐπί + ἐρωτάω
αἰνιγμός, ὁ = ἀσαφὴς λόγος (ἀσαφής, ές ↔ σαφής, ές)
παίζω = λέγω ἢ πράσσω ὡς οἱ παῖδες
παίζω ↔ σπουδάζω
οὐδὲν · τοῦτ᾽ἔστιν οὐδὲν σοφόν

σίγα!
σιώπα!
οὐ σιγήσει;
ὦ μῶρε σύ!

μωρός, ά, όν ↔ σοφός

26 *εἰκών τις.*

εἰκόνα ὑμῖν ἐπιδείξω.
βλέψατε κάτω!
βλέπετε ἄνω!
ποῖ[§8] βλέπεις;
ἑτέρωσε βλέπεις.
δεῦρο[§17] σκέψαι!
καὶ μὴν αἰσθάνομαι ψόφου τινὸς ἐξόπισθεν.
ἐν τῷ πρόσθεν.
παῦσαι λαλῶν!
οὐ μὴ λαλήσετε;

εἰκών, ἡ, όνος = πεποιημένον τι ὅ ἐστιν ὅμοιον ἄλλῳ τινί

ἐπιδείκνυμι ← ἐπί + δείκνυμι

κάτω ← κατὰ

ἄνω ← ἀνά

ἑτέρωσε = εἰς τὸν ἕτερον τόπον

σκέπτομαι = βλέπω

φυλάσσω ἐμαυτὸν ἀπὸ τοῦ ψόφου (← ψόφος, ὁ)



ἐξόπισθεν = ἐκ, ἐξ + ὄπισθεν
ὄπισθεν = πάλιν
πρόσθεν ↔ ὄπισθεν

27 *ἑλληνικοὶ ποιηταί.*

ἐκ τῆς Ἀντιγόνης τὸ νῦν εἰπὲ τὴν καλλίστην ῥῆσιν ἀπολέγων.
τὸ πρῶτον τῆς Ὀδυσσείας.
τί νοεῖ τοῦτο;
κακοδαιμονᾷς.
ὡς εὐηθικῶς!
ποῦ τὸν νοῦν ἔχεις;
παραφρονεῖς!
τὴν ῥῆσιν ταύτην οὐχ οὕτω Σοφοκλῆς ὑπελάμβανεν, ὡς σὺ ὑπολαμβάνεις.

ῥῆσις, εως, ἡ (← ἐρῶ) = λόγος

ἀπολέγω (← ἀπό + λέγω) = αἱροῦμαι

νοέω (← νοῦς (νόος), νοῦ (νόου), ὁ) = σημαίνω [§22]

κακοδαιμονάω (← κακός + δαίμων) = ἔχω κακὸν δαίμονα

εὐηθ-ικός, ή, όν ↔ σοφός

παραφρονέω (← παρά + φρονέω) = ἔχω παρὰ νοῦν

ὑπολαμβάνω (← ὑπό + λαμβάνω) = αἰσθάνομαι

ὅρα δὴ βέλτιον.
σκόπει τὸ ῥῆμα τοῦτο!
ἥκω ταὐτόν ἐστι τῷ κατέρχομαι.
τίς ὁ νοῦς;
τουτὶ φρονίμως ἤδη λέγεις.
πάντ' ἔχεις ἤδη.
εὖ γε συνέβαλες.
τοῦτο δήπου[§3] κάλλιστον πεποίηκε Σοφοκλῆς.
Σοφοκλῆς πρότερός ἐστ' Εὐριπίδου.
ὁ δ' ἀγαθὸς ποιητής ἐστι καὶ αὐτός.
οὐκ ἐπαινῶ[§6] Εὐριπίδην μὰ Δία.[§7]
οὐκ ἀναμιμνήσκει ἴαμβον Εὐριπίδου;
τουτὶ[§18] μὲν ἐπιεικῶς σύγ' ἐπίστασαι.
Εὐριπίδην πεπάτηκας ἀκριβῶς.
πόθεν[§8] ταῦτ' ἔμαθες οὕτω καλῶς;
Εὐριπίδου ῥήσεις ἐξεγραψάμην πολλάς.
λέξον τι τῶν νεωτέρων.
οὐκ ἄξιοί εἰσι τούτου, γόνιμον γὰρ ποιητὴν οὐκ ἂν εὕροις ἐν αὐτοῖς.
περὶ Αἰσχύλου δὲ τίνα ἔχεις γνώμην;
Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς.
ἐπίστασαι τοῦτο τὸ ᾆσμα Σιμωνίδου;
μάλιστα.
ἔγωγε νὴ Δία.[§7]
βούλει πᾶν διεξέλθω;
οὐδὲν δεῖ.
ὄνομα δὲ τούτῳ τῷ μέτρῳ τί ἐστιν;
τὸ ᾆσμα οὐκ ἐπίσταμαι.
καὶ μὴν ἐπὶ τὸ δεύτερον τῆς τραγῳδίας μέρος τρέψομαι.

ἥκω = κατέρχομαι ← κατά + ἔρχομαι

φρόνιμος, ον = εὖ φρονῶν

συμβάλλω (← σύν + βάλλω) = βάλλω δύο εἰς τὸ αὐτό

ἀναμιμνήσκω ← ἀνά + μιμνήσκω

ὅδε ὁ ἴαμβός ἐστιν Εὐριπίδου · *φυγεῖν μὲν οὖν χρὴ πόλεμον ὅστις εὖ φρονεῖ*

ἐπιεικῶς (← ἐπιεικής, ές ← ἐπί + εἰκός, ότος, τό) = ἱκανῶς

πατέω = βαίνω ἐπί τινος

ἐκγράφω ← ἐκ, ἐξ+ γράφω

γόνιμος, ον = ἱκανὸς ὢν ποιεῖν γένος


ᾀδω
ᾆσμα

ᾆσμα, ατος, τό ← ᾀδω, ᾀσομαι, ᾖσα, ᾖσμαι, ᾔσθην

διεξέρχομαι ← διά + ἐκ, ἐξ + ἔρχομαι

μέτρον, τό · ὁ ποιητὴς γράφει κατὰ μέτρον


ἡ τραγῳδία καὶ ἡ κωμῳδία

28 τὸ μεταβάλλειν.

μεταβάλλω ← μετά + βάλλω

ζητήσατε τὸ περὶ Σωκράτους λαβόντες τὸ βιβλίον.[§21] ἐστὶ δὲ τὸ ἑκατοστὸν καὶ ἕβδομον.
ἀλλὰ προσέχετε[§25] τὸν νοῦν.
λέγωμεν ἑλληνικῶς ταῦτα μεταβάλλοντες.
ἴθι δὴ, λέγε, ὦ Ν.
ταῦτά μ’ ἤρεσας[§18] λέγων.
τίς σ’ ἐδίδαξε τὴν ἑλληνικὴν φωνήν;
λέγε. ἐνεστὼς τῆς προστακτικῆς. [§24]
τοῦτ’ αὖ δεξιόν.[§15]
λέγε δὴ σύ, ὦ ’γαθέ.
σκαιῶς ταῦτα λέγεις.
τοῦτ’ ἐστ’ Ἰωνικὸν τὸ ῥῆμα.[§24]
Ἰωνικῶς λέγεις;
φέρε δὴ, τί λέγεις;
ἀλλ’ ἀνύσας λέγε!
σύγ’ οὐδὲν εἶ.
δικαίως δὲ τοῦτό σοι λέγω.
σὺ γὰρ οὐδὲ τρία ῥήματα ἑλληνικῶς εἰπεῖν οἷός τ’ εἶ πρὶν ἐξαμαρτεῖν.
παῦε!
καὶ μεταγράφετε αὐτὸ τοῦτο ἑλληνιστί!
καὶ τὸ ἑξῆς. Πλάτ. Μενέξ. 241 A
μανθάνετε;
πάνυ μανθάνομεν.
τὸ ἔργον.
λαβὲ τὸ βιβλίον[§21] καὶ λέγε!
ἐς κόρακας! ὡς ἄχθομαι,[§3] ὁτιὴ[§8] ἐπελαθόμην τοὺς χάρτας (τὸ βι-

δεξιός, ά, όν = σοφός

σκαιός, ά, όν = ἀριστερός, [§15] τοῦτ’ ἐστιν οὐ καλός

Ἰωνικός, ή, όν = τῶν Ἰώνων ὤν. οἱ δ’ Ἰώνες (← Ἴων, ωνος, ὁ) ᾤκουν τὸ δυτικὸν μέρος τῆς Τουρκίας παρὰ τὴν θάλασσαν. ὅρα τὸ σχῆμα 1

ἀνύω = ἄγω εἰς τὸ τέλος

ἐξαμαρτάνω ←ἐκ, ἐξ + ἁμαρτάνω

μεταγράφω (← μετά + γράφω) = μεταβάλλω

ἑξῆς = ὁ εἷς μετὰ τὸν ἄλλον, κατὰ τάξιν

χάρτης, ου, ὁ · οἱ χάρται = τό βιβλίον


κόραξ, ακος, ὁ γραφεῖον, τό

ἐς κόρακας = εἰς θάνατον

ἐπιλανθάνω ← ἐπί + λανθάνω

προσφέρω ← πρός + φέρω

βλίον) προσφέρειν.
χρῆσόν τί μοι γραφεῖον καὶ χάρταν.

χράω (→ χράομαι) = δίδωμι

29 ἄσχολος.

πᾶς χωρεῖ[§15] πρὸς ἔργον.
ἄγε δή, τί νῷν ἔντευθενὶ ποιητέον;
ταυτὶ δέδραται.
ταῦτα δράσω.
μελήσει[§6] μοι ταῦτα.
ἰδοὺ πάντα, ὧν δέει.
ἆρ’ ἔχεις ἅπαντα, ἃ δεῖ;
πάντα νὴ Δία πάρεστί μοι, ὅσων δέομαι.
φαυλότατον[§2] ἔργον.
ἵνα δὴ τί τοῦτο δρᾶτε;
χωρεῖ τὸ πρᾶγμα οὕτω πολλῷ μᾶλλον.
τῷ ἔργῳ πρόσεχε.[§25]
μὴ ποίει, ἅπερ οἱ ἄλλοι δρῶσι!
οὐ χωρεῖ[§15] τοὖργον.
τί δαὶ[§8] ποιήσεις;
ὑμέτερον ἐντεῦθεν ἔργον.
συλλαμβάνου, εἰ μὴ σέ τι κωλύει!
οὐ σχολή (μοι).

νῷν = ἡμῖν δύο
ἄσχολος, ον = οὐκ ἔχων σχολήν (← σχολή, ἡ) = δεῖ αὐτὸν ἐργάζεσθαι
ἐντευθενί = ἐντεῦθεν = ἐκ τούτου τοῦ τόπου ἢ χρόνου
ταυτί = ταῦτα

συλλαμβάνω (← σύν + λαμβάνω).
συλλαμβάνομαι = βοηθέω

30 ἔπαινος καὶ μέμψις.

τί οὖν ἐρεῖς περὶ τούτου τοῦ μαθητοῦ, γυμνασίαρχε;
οὐ σκαιὸς[§28] ἅνθρωπος.

ἔπαινος, ὁ = τὸ καλὰ λέγειν περί τινος
ἔπαινος, ὁ ↔ μέμψις, εως, ἡ
μαθητής, οῦ, ὁ = ὁ μανθάνων
γυμνασίαρχος, ὁ = ὁ ἄρχων τοῦ γυμνασίου [§20]
ἅνθρωπος = ὁ ἀνθρωπος

οὐ σκαιός μοι δοκεῖ εἶναι.
δεξιὸς[§15] μὲν οὖν ἐστιν.
καὶ φιλομαθὴς καὶ ἀγχίνους.
ὁ δὲ ἕτερος ποῖός τις;
ἐστὶ τοῦ πονηροῦ κόμματος.
ἀλλὰ πρὸς τοῦτον μὲν ὕστερός ἐστί μοι λόγος.
ἐπιλήσμων γάρ ἐστι καὶ βραδύς.
καὶ οὐκ ἐπιμελής[§23] ἐστιν.
ἠλιθιώτατός ἐστι πάντων.
πολὺ πάνυ μεθέστηκεν.
οἶδά τοι.
ποιήσομέν τι τῶν προὔργου.
ἠλίθιός τε καὶ ἀργὸς καὶ γάστρις ἐστίν.
μελαγχολᾷ.
ὁ δὲ Ἀ. πῶς παρέχει τὰ ἑαυτοῦ;
καθ’ ὅσον οἷός τ’ ἐστίν.
ἐπιεικῶς.[§27]
εὖγε.
καλῶς.
ἀκριβῶς.
ὀρθῶς.
ἐπιεικῶς.[§27]
μετρίως.
μέσως.
φαύλως.[§2]
οὐκ ὀρθῶς.

φιλομαθής, ές = φιλῶν τὸ μανθάνειν
ἀγχίνοος, ον = δεξιός


κόμμα, ατος, τό

ἐπιλήσμων, ον = πολλάκις λανθανόμενος
βραδύς, εῖα, ύ ↔ ταχύς, εῖα, ύ

μεθίστημι (← μετά + ἵστημι) = μετὰ τὸ πρῶτον εἶδος εἰς ἄλλον ἵστημι

προὔργου = πρὸ ἔργου

ἠλίθιος, α, ον ↔ ἐπιμελής, ές [§23]
ἀργός, όν (← ἀεργός) = μὴ βουλόμενος ἐργάζεσθαι
γάστρις, ιδος ἢ εως, ὁ, ἡ = ὁ ἀεὶ βουλόμενος ἐσθίειν [§19]


μελαγχολάω

★★★★★	εὖγε
★★★★	καλῶς ἀκριβῶς
★★★	ὀρθῶς ἐπιεικῶς
★★	μετρίως
★	μέσως φαύλως
	οὐκ ὀρθῶς

μέτριος, α, ον = ὀλίγῳ μᾶλλον ἢ μέσος

31 τὸ ᾄδειν.

ᾆσόν[§27] τι!


μελῳδεῖν οὐκ ἐπίσταμαι.[§7]
μέλος τι ᾄσατε.
τί ἐπινοεῖτε ᾄδειν;
ἀλλὰ τί δῆτ’[§5] ᾄδωμεν;
εἰπὲ, οἷστισι χαίρεις.
ὡς ἡδὺ τὸ μέλος!
ἕτερον ᾀσόμεθα.
ἔασόν με μονῳδῆσαι.
ἀλλ’ ᾆδ’ ὁπόσα βούλει.
παῦσαι μελῳδῶν!
οὐδὲν γὰρ ᾄδεις πλὴν οἶνον.[§20]
τουτί[§18] μ’ ἀρέσκει.
σὲ δὲ τοῦτ’ ἀρέσκει;
ὅσα ἄρτι ᾖσας, οὐ μὴ ἐπιλάθωμαί[§28] ποτε.
ἐπᾴσομαι μέλος τι.

μελῳδέω = ᾄδω
μέλος, εος, τό = ᾆσμα, ατος, τό
ἐπινοέω = ἐν νῷ ἔχω
μονῳδέω = μόνος ᾄδω
ἄρτι = τὸ παρόν
ἐπᾴδω ← ἐπί + ᾄδω

32 ἡ τῶν πολεμικῶν ἄσκησις.

ἄγε εἰς τὰ ὅπλα!
εἰς τὰς τάξεις καθίστασθε!
σιωπῇ!
διάστηθι!
ζύγει!
ἄνω τὰ ὅπλα!
θέσθε τὰ ὅπλα!
ἐπὶ δεξιὰ[§4] κλῖνον!
ἔπ’ ἀριστερὰ[§4] κλῖνον!
ἐπ’ ἀριστερὰ μεταβαλοῦ![§28]
εἰς ὀρθὸν ἀπόδος!
πρόαγε!

πολεμικός, ή, όν ← πόλεμος, ὁ
ἄσκησις, εως, ἡ ← ἀσκέω = διὰ πόνον παρασκευάζομαι
διίστημι (← διά + ἵστημι) = ἵστημί τινας ἢ τινα ἀπὸ ἀλλήλων
ζυγέω = ἵσταμαι παρὰ τοῖς ἄλλοις (στρατιώταις)
κλίνω, κλινῶ, ἔκλινα, κέκλικα, κέκλιμαι, εκλίνην = τρέπομαι
ἐπ’ ἀριστερὰ μεταβαλοῦ!



εἰς ὀρθὸν δίδωμι = ἵσταμαι ὀρθῶς
προάγω (← πρό + ἄγω) = πορεύομαι

ἔχον οὕτως!
ἐπὶ κέρως εἰς δύο πρόαγε!
ἐπὶ φάλαγγος πρόαγε!
δρόμῳ!
δρόμῳ πρόαγε ἀλαλά!

ἔχον οὕτως! = στῆθι!
κέρας, ατος (ἢ κέρως), τό · ὁ βοῦς ἔχει δύο κέρατα ἐπὶ τῆς κεφαλῆς
ἐπὶ κέρως εἰς δύο = δύο δύο
φάλαγξ, αγγος, ἡ = ἡ τάξις εἰς μάχην
δρόμος, ὁ = τὸ ὡς τάχιστα χωρεῖν [§15]
ἀλαλά · οὕτω λέγουσιν οἱ στρατιῶται ὅταν χαίρωσιν

33 εὖ λέγεις.

εὖ λέγεις.
εὖ τοι λέγεις.
ἴσως ἄν τι λέγοις.
εὖ πάνυ λέγεις.
εὖ λέγειν σὺ φαίνει.
εὖ γέ μοι δοκεῖς λέγειν.
συνδοκεῖ ταῦτα κἀμοί.
τοῦτο μὲν κἀμοὶ δοκεῖ.
τοῦτο περιφανέστατον.
δίκαιος ὁ λόγος.
πείθομαι.
ὡς ἔοικεν.
τούτων τεκμήριά ἐστι πολλά.
ἔργῳ τεκμαίρομαι.

τοι = ἦ
συνδοκέω ← σύν + δοκέω
περιφανής, ές = φανερός, ά, όν
τεκμήριον, τό = φανερὸν σημεῖον
τεκμαίρομαι = γιγνώσκω, μανθάνω

34 ναί.

νὴ Δία.[§7]
νὴ τοὺς θεούς! – νὴ τὸν Ποσειδῶ!
μάλιστά γε. – πάνυ!
κομιδῇ μὲν οὖν!
εἰκότως! – εἰκὸς γάρ!
εἰκότως γε (νὴ Δία)!

κομιδῇ = ὀρθῶς
εἰκότως ← ἔοικα

εὖ ἴσθ’ ὅτι!
ἐγώ; σὺ μέντοι!
οὐκ οἶδα.
ἔοικεν!
κοὐ θαῦμά γε!
καὶ θαῦμά γ’ οὐδέν!
εὖ λέγεις!
οὐκ οἶσθα;

κοὐ = καὶ οὐ
θαῦμα, ατος, τό = ὃ θαυμάζομεν

35 οὔ.

οὐ μὰ Δία![§7]
μὰ Δι’ ἐγὼ μὲν οὔ.
οὔκ · ἀλλὰ ...
μὴ δῆτα![§5]
μή νυν ποιήσῃς!
μὴ δῆτά πώ γε.
οὔκ, ἢν μὴ (τοῦτο γένηται).
μηδαμῶς!
οὐδὲν δεῖ!
μὰ Δί’ οὐ μέντοι.
εἰ γὰρ ὤφελ(ον)!
σωφρονεῖς! – δεξιὸς[§15] εἶ!
ἥκιστα!
ἥκιστά γε!
ἥκιστα πάντων!
οὐκ ἂν μὰ Δία, εἰ κρέμαισθέ γε ὑμεῖς!
μελαγχολᾶν[§30] μ’ οὕτως οἴει;
οὐχ οὗτος ὁ τρόπος!
ἀλλ’ ὅμως!
οὐκ ὀρθῶς λέγεις.
λῆρος!

ἢν = ἐάν
μηδαμῶς = κατὰ μηδένα τρόπον
ὀφείλω = δεῖ με ἀποδίδομαι
σωφρονέω = ὀρθῶς φρονέω
ἥκιστος, η, ον



κρεμάννυμι → ἡ εἰκὼν κρεμάννυται
λῆρος, ὁ = ὁ μὴ ἄξιος μηδενός

οὐδὲν λέγεις!
ἀλλ’ οὐ ταὐτόν!
ἀλλ’ οὐκ εἶπας ὅμοιον!
οὐ πείθομαι!

τὰ κοινωνήματα.

κοινώνημα, ατος, τό ← κοινός, ή, όν

36 αἰτεῖ ἀργύριον.


γεωργία, ἡ = τὰ ἔργα περὶ τῆς γῆς
ῥώννυμι, ἔρρωσα, ἔρρωμαι, ἐρρώσθην = δίδωμι δύναμίν τινι

εὖ φερομένης τῆς γεωργίας ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι. Ξεν. Οἰκ. 5, 17
ἔχει ἅπαντα, ἃ δεῖ.
αἰτεῖ λαβεῖν τι.
τοῦ δέει;
{ τοῦ δεόμενος ἦλθες ἐνθαδί;
ἥκεις κατὰ τί;
ἐπὶ τί πάρει δεῦρο;
δάνεισόν μοι πρὸς τῶν θεῶν εἴκοσι μάρκας!*
ἡ ἀνάγκη με πιέζει.
μὰ Δί’[§7] ἐγὼ μὲν οὔ.
ἔχεις ὧν δέει.
οὐκ ἀρήξεις;
τί χρήσει τῷ ἀργυρίῳ;
ἀποδώσω τῷ σκυτοτόμῳ.
πόθεν τὸ ἀργύριον λήψομαι;
ἰδοὺ τουτὶ[§18] λαβέ!
εὖ γ’ ἐποίησας!
πόλλ’ ἀγαθὰ γένοιτό σοι!
μὴ ἀγανάκτει,[§22] ὦ ’γαθέ!
οἶσθ’ ὃ δρᾶσον; μὴ διαλέγου περὶ τού-

ἐνθαδί = ἐνθάδε [§3]

δανείζω = παρέχω ἀργύριον τοῖς ἀνθρώποις ἵνα ἀποδῶσί μοι πλέον
μάρκη, ἡ = τὸ μάρκιον [§18]

ἀρήγω = βοηθέω


πιέζω


σκυτότομος, ὁ

διαλέγομαι (← διά + λέγω) = διὰ χρόνου λέγω μετά τινος

του μηδέν!
ἀλλ’ ὦ ’γαθέ – !

37 ὁ κάπηλος.

καὶ μὴν ὁδὶ[§20] ἐκεῖνος ὁ Ἰουδαῖος!
βαλάντια καλά! λαιμοδέτια!*
μαχαίρια![§19]
τί δῆτα[§5] καταθῶ τουτουί;
δύο μάρκας*[§36] καὶ πεντήκοντα.
μὰ Δί’,[§7] ἀλλ’ ἔλαττον.
δύο μάρκας τελεῖς;
λαβὲ μάρκην καὶ ἡμίσειαν.
πῶς τὰ βαλάντια ὤνια;
λήψει τεσσάρων μαρκῶν πάνυ καλόν.
ἀπόφερε· οὐκ ὠνήσομαι, κερδαίνειν γὰρ βούλει πολύ.
αὐτὸς σὺ τί δίδως.
ὅτι δίδωμι; δοίην ἂν δύο μάρκας.
ἔχε τοίνυν· κρεῖττον γάρ ἐστιν ἢ μηδὲν λαβεῖν.
ἄνθρωπος οὐκ ἀπαλλαχθήσεται ἡμῶν.
οὐδέν ἐστιν ἡ μάχαιρα· οὐκ ἂν πριαίμην οὐδὲ μιᾶς μάρκης.
αὐτὸς ἀντέδωκα τούτου ποτὲ τρεῖς μάρκας.
οὐδέν μοι περιγίγνεται.
ἄληθες;
ὄμοσον!
οὐ μὰ τοὺς θεούς!
πώλει τοῦτο ἄλλῳ τινί!
ὠνήσομαί σοι ἐγώ.
ἔχε δὴ τἀργύριον.

κάπηλος, ὁ = ὁ ἀποδιδόμενός τι ἀντὶ ἀργυρίου

βαλ(λ)άντιον, τό = ὁδὸν ποιοῦντες φέρομεν ἀργύριόν τι ἐν τῷ βαλλαντίῳ

λαιμοδέτιον, τό = μικρὸς λαιμοδέτης



κατατίθημι (← κατά + τίθημι) · ἐνταῦθα σημαίνει [§22] ὅτι δίδωμί τινι τὸ δεόμενον ἀργύριον

τελέω = κατατίθημι

ὤνιος, α, ον · ὅ τι ἂν καταθεὶς ἀργύριον δύνωμαι ἔχειν, τοῦτο ὤνιόν ἐστιν

ἀποφέρω ← ἀπό + φέρω

ὠνέομαι, ὠνήσομαι, ἐπριάμην, ἐώνημαι, ἐωνήθην (← ὤνιος, α, ον) ↔ ἀποδίδομαι

κερδαίνω, κερδανῶ, ἐκέρδανα, κεκέρδηκα = κτάομαι

μάχαιρα, ας, ἡ · μικρὰ μάχαιρά ἐστι μαχαίριον [§19]

ἀντιδίδωμι (← ἀντί + δίδωμι) = κατατίθημι

περιγίγνομαι (← περί + γίγνομαι) = μένω

ὄμνυμι, ὀμοῦμαι, ὤμοσα, ὀμώμοκα, ὀμώμομαι, ὠμόθην · ἀποθάνοιμι, ἐὰν μὴ τὰ ἀληθῆ λέγω. ὀμώμοκα γάρ

μὰ τοὺς θεούς = μὰ Δία [§7]

πωλέω = ἀποδίδομαι

ταῦτα δή.
ἀπέδωκα ὀφείλων[§35] τρεῖς μάρκας.
ἐν Λειψίᾳ*[§2] πωλοῦνται κατὰ δώδεκα εἴκοσι μαρκῶν.
τοδὶ ἀπέδοτο μιᾶς μάρκης.

τοδί = τόδε

38 παρὰ τῷ ἱματιοκαπήλῳ.

χαῖρε!
χαῖρε καὶ σύ!
ἥκεις δὲ κατὰ τί;
τοῦ δέει;
δέομαι ἱματίου τε καὶ βρακῶν.
ὁ χιτών.
ὁ πῖλος.
τὸ ἐπάνω ἱμάτιον.
τὰ ὑποδήματα.
ἡ περικνημίς.
τὸ ῥινόμακτρον.
τί τελῶ[§37] ταῦτα ὠνούμενος;[§37]
πεντήκοντα μάρκας*[§36] εἰς ἱμάτιον, εἴκοσι δ᾽εἰς βράκας.
καθάπερ τέως.
κάλλιστον τοδὶ*[§37] ἱμάτιον μετὰ βρακῶν.
ἆρ᾽ ἁρμόσει μοι;
κατάθου δῆτα[§5] τὸ ἐπάνω ἱμάτιον.
{ ἀπόδυθι, ἀντιβολῶ,[§5] θοἰμάτιον!
{ βούλει ἀποδύεσθαι θοἰμάτιον;
οὐ καινὸν ἀμπέχει ἱμάτιον.
οὐ μὰ Δι᾽·[§7] ἀλλ᾽ ὀπὰς ἔχει τὸ τριβώ-
















α᾽ · ἱμάτιον, τό, β᾽ · βράκαι, ῶν, αἱ, γ᾽ χιτών, ῶνος, ὁ, δ᾽ · πῖλος, ὁ, ε᾽ · ἐπάνω ἱμάτιον, τό, ς᾽ · ὑπόδημα, ατος, τό, ζ᾽ · περικνημίς, ῖδος, ἡ, η᾽ · ῥινόμακτρον, τό, θ᾽ · ἐμβάς, άδος, ἡ

καθάπερ = καθ᾽ ἅ περ
τέως = ἐν τῷ χρόνῳ εἰς τούτον τὸν χρόνον
ἁρμόζω = προσήκω
κατατίθημι ← κατά + τίθημι, ἐνταῦθα ὥσπερ κατὰ τὰ γράμματα



ἀποδύω · ἀποδύομαι τὸν χιτῶνα (ἀλλὰ χθὲς [§2] *ἀπέδυν* τὸν χιτῶνα)

καινός, ή, όν = νέος, νέα, νέον
ἀμπέχω = τίθημί τι ἀμφί τινος
τριβώνιον, τό = παλαιὸν ἱμάτιον (παλαιός, ά, όν ↔ καινός, ή, όν)
ὀπή, ἡ = στόμα
ἱματιοκάπηλος, ὁ ← ἱμάτιον, τό + κάπηλος, ὁ [§37]

νιον.
ποίαν ἤδη ἔχεις σκευήν!
ἄριστ’ ἔχει τὸ καινὸν ἱμάτιον.
ἔχεις τι ψέγειν τούτου;
οὐ πρέπει μοι.

σκευή, ἡ = ἱμάτιον καὶ βράκαι
ψέγω = κακὰ λέγω
πρέπω = προσήκω

39 τὰ ὑποδήματα.[§38]

ὑποδημάτων δεῖ.
τἀμὰ ταυτὶ λαβέ!
τοῦτο πρῶτον ὑποδύου.
ἄνυσον[§28] ὑποδυσάμενος! Ἀρ., Σφ. 1159, 1168
ἀποδύου τὰς ἐμβάδας[§38] (τὰ ἐμβάδια).
ὑπόδυθι τάσδε.
ἆρ’ ἁρμόττουσιν;
νὴ Δί’[§7], ἀλλ’ ἄριστ’ ἔχει.
πόθεν[§8] πριάμενος[§37] τὸ ζεῦγος ἐμβάδων τουτὶ[§18] φορεῖς;
ἐν ἀγορᾷ.[§15]
καὶ πόσου;[§15]
ἑκκαίδεκα μαρκῶν*[§36]


τἀμὰ ταυτί = τὰ ἐμὰ ταῦτα
ὑποδύω · ὑποδύομαι τὰ ὑποδήματα
ἐμβάδιον, τό = μικρὰ ἐμβάς [§38]
ἁρμόττω = ἁρμόζω [§38]
ζεῦγος, εος, τό = τὸ δύο
φορέω (← φέρω) = μένω φέρων

40 ἀπὸ τῆς ἀγορᾶς τῶν καρπῶν.

εἰς ἀγορὰν[§15] ἰτέον μοι.
τίνος ἕνεκα;
χωρεῖ[§15] εἰς ἀγορὰν ἐπὶ βότρυς.
ὠνήσομαι,[§37] ἐάν σύ μοι δῷς τἀργύριον.

καρπός, ὁ · ὥσπερ τὸ μῆλον, τὸ ἄπιον, κ.τ.λ.
βότρυς, υος, ὁ · α’

ἰδοὺ λαβὲ μικρὸν ἀργυρίδιον! — ἀργυρίδιον, τό = ἀργύριον
τί βούλει με πρίασθαι; — περσικόν, τό · β'
ὠνησόμεθα περσικὰ τούτου τοῦ ἀργυρίου.
ἀγόρασόν μοι μῆλα. — μῆλον, τό · γ'
ἀρμενιακά (μῆλα). — ἀρμενιακόν, τό · δ'
ἄπια. — ἄπιον, τό ·ε'
χαμοκέρασα*. — χαμοκέρασον*, τό · ς'
λάχανα. — λάχανον, τό → λαχανικόν* [20]
κάστανα. — κάστανον, τό · ζ'
κέρασα. — κέρασον, τό · η'
κάρυα. — κάρυον, τό · θ'
λεπτοκάρυα. — λεπτοκάρυον, τό · ι'
περσικά (μῆλα).
κοκκύμηλα. — κοκκύμηλον, τό · ια'
πορτοκάλια.* — πορτοκάλιον,* τό · ιβ'
φραγκοστάφυλα.* — φραγκοστάφυλον,* τό · ιγ'
ῥαφανίδια. — ῥαφανίδιον, τό · ιδ'
πάντα.
πόσον [§15] δίδως δῆτα[§5] τἀργυρίου;
πεντεκαίδεκα τῆς μάρκης.*[§36]
πῶς ὁ βούτυρος (τὸ βούτυρον) τὸ νῦν ὤνιος;*[§37]
εὐτελής ἐστιν.
δεῖ τίμιον πρίασθαι αὐτόν.
χλωρὸς βούτυρος, χλωρὸν κρέας.
οὐδὲν ἠμπόληκά πω.
οἴκαδ'[§17] ἴμεν ἐμπολήσαντές τι.
ἡ τιμή.



ἀγοράζω = ὠνέομαι
βούτυρος, ὁ · ιε'

εὐτελής, ές = μικρᾶς τιμῆς ὤν
τίμιος, α, ον = μεγάλης τιμῆς ὤν
χλωρός, ά, όν = νέος
ἐμπολάω = ὠνέομαι

τὰ ἐν συνουσίᾳ.

41 ὄρχησις.

συνουσία, ἡ (←σύν + εἰμί) · ὅταν οἱ ἄνθρωποι μετὰ ἀλλήλων ἐν εἰρήνῃ συνῶσιν, ἔστι συνουσία



ὄρχησις, εως, ἡ θύρα, ἡ
ὀρχοῦνται (← ὀρχέομαι)

καλῶς ὀρχεῖται· ἦ γάρ;
μάλιστα.
κεκήλημαι ἔγωγε.
ὀρχήσομαι μετ᾽αὐτῆς τὸ Πολωνικόν (τὸν στρόβιλον, τὸ Καληδονικόν, τὸ Γαλλικόν, τὸν τετράχορον).
δὸς ὀρχεῖσθαι τοῦτο μετὰ σοί, ὦ γύναι! (– ὦ κόρη![§1])
φθόνος[§5] οὐδείς.
παῦε δῆτ’[§5] ὀρχούμενος, ἀπείρηκα γάρ.
κέκμηκα.
ἓν μὲν οὖν τουτί[§18] μ’ ἔασον ὀρχέσασθαι.
τοῦτό νυν καὶ μηκέτ’[§21] ἄλλο μηδέν.
ὡς ἡδὺ μετὰ σοῦ ὀρχεῖσθαι!
Τίς ποθ’ οὗτος ὁ δεῦρο[§17] βλέπων; ὁ ἐπὶ ταῖς θύραις;
ἐστὶν οὑμὸς ἀνήρ.
τί σκυθρωπάζει;[§3]
σφόδρα ζηλότυπός ἐστιν.
μὴ ὁρᾶν δοκῶμεν αὐτόν.
φυλάξομαι!
οὐδὲν γὰρ πιστὸν τοῖς ἀνδράσιν.
νύμφη ἐστὶ τρεῖς μῆνας.[§12]
ὁ ὀρχηστοδιδάσκαλος.
εἰς τὸ ὀρχηστοδιδασκαλεῖον.

κηλέω = οὕτως ἡδέως αἰσθάνομαι ὥστε λανθάνεσθαι
Πολωνικόν, τό = ὄρχησις τῆς Βαρσοβίας. ὅρα τὸ σχῆμα 1
στρόβιλος, ὁ = ὄρχησις ἐν ᾗ οἱ ἄνθρωποι τρέπονται
Καληδονικόν, τό = ὄρχησις τῆς Καληδονίας ἢ Σκωτίας. ὅρα τὸ σχῆμα 1
τετράχορος = ὄρχησις κατὰ τέσσαρα ζεύγη [§1]
ἀπολέγω = λέγω οὔ
κάμνω = μάλα ἐργάζομαι
οὑμός = ὁ ἐμός
σφόδρα = μάλα
ζηλότυπος, ὁ = ὁ μὴ πειθόμενος τῇ τοῦ γυναικὸς πίστει
πιστός, ή, ό = ἄξιος πίστεως
νύμφη, ἡ = νέα γυνὴ ἔχουσα ἄνδρα
ὀρχηστοδιδάσκαλος, ὁ = ὁ τῆς ὀρχήσεως δάσκαλος. διδάσκαλος, ὁ = ὁ διδάσκων
ὀρχηστοδιδασκαλεῖον, τό = ὅπου ὁ ὀρχηστοδιδάσκαλος διδάσκει

42 *μῦθός τις.*

ἄκουσον, ὦ γύναι, λόγον σοι βούλομαι λέξαι χαρίεντα.
ἴθι δή, λέξον.
τί λέγεις;
οὐ πείθομαι!
ἐθαύμασας;
μύθους μοι λέγεις!
τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
εἴπερ ὄντως σὺ ταῦτ’ ἀληθῆ λέγεις, οὐδὲν ἔχω εἰπεῖν.
κατὰ τὸν λόγον, ὃν σὺ λέγεις, ἀξία ἐστὶ θαυμάσαι.
λέγ’ αὐτῇ τὸ πρᾶγμα.
φράζειν.
τί πρὸς ταῦτα εἶπεν;
προφασίζεται.
μῦθον ὑμῖν βούλομαι λέξαι οὕτως.

μῦθος, ὁ = ἔπος, τό, λόγος, ὁ
χαρίεις, χαρίεσσα (← χάρις, χάριτος, ἡ) = καλός, χάριν ἔχων

εἴπερ ← εἰ + περ
ὄντως ← εἰμί

προφασίζομαι = λέγω λόγον τινὰ ἀληθῆ φαινόμενον ὅτι οὐκ πεποίηκα ἢ οὐ ποιήσω τι

43 *οὐκ οἶδα.*

οὐκ οἶδα.
οὐκ ἔχω φράσαι.
ποῖ[§8] τις ἂν τρέποιτο;
γνώσομαι ἔγωγε.
οὐκ οἶδ’ ἀκριβῶς.
οὐχ, ὅσον γέ μ’ εἰδέναι.
οὐ σάφ’ οἶδα, ὅπως ἔχει.
οἶδά τοι.
μεμνήμεθα!
οἶδα μέντοι!

τοι = μήν

εἰ δὴ ἐπιθυμεῖς[§14] εἰδέναι, φράσω.
τί φῄς!
πέπυσμαι τοῦτο τῶν σάφ’ εἰδότων.
ἆρ’ ἀκήκοάς τι τοῦ πράγματος;
τοῦτ’ οὐκ ᾔδειν ἐγώ.
οὐκ ἐτὸς ἄρα λυπεῖ.


οὐκ ἐτός = θαῦμα [$ 34] οὐδέν
λυπέω = παρέχω πόνον τινί (λυπέομαι = πάσχω πόνον)

44 *ἡ καλὴ καὶ ἡ αἰσχρά.*

ὅρα ταυτηνί, ὡς καλή!
τίς ποθ’ αὑτηί;
ἡ τὸ φαιὸν ἔνδυμα ἀμπεχομένη;
πασῶν ὡραιοτάτη ἐστίν.
τίς καί ἐστί ποτε;
γιγνώσκει τις ὑμῶν;
νὴ Δία[§7] ἔγωγε.
ἐστὶν ἀνεψιά μου.
οἷον τὸ κάλλος αὐτῆς φαίνεται!
ὡς εὐχροεῖ!
καὶ τὸ βλέμμα ἔχει μαλακὸν καὶ καλόν.
καὶ τὰς χεῖρας παγκάλας ἔχει.
καὶ ἡδέως γελᾷ.
ἔρως με εἴληφε τῆς κόρης[§1] ταύτης.
ἀλλ’ ἔχει οὐδέν;
πλουτεῖ μὲν οὖν · οὐσίαν γὰρ ἔχει συχνήν.
οἶσθ’ ᾗ μάλιστ’ ἔοικεν; τῇ Ἀ.
ἐνταῦθα μείραξ ὡραία ἐστίν.
τίς γάρ ἐσθ’ ἡ ὄπισθεν[§16] αὐτῆς;
ἥτις ἐστίν; Σχουλζίου γυνή.
τῆς ἑτέρας μοι ἧττον μέλει.[§6]

φαιός, ά, όν · τόδε τὸ σχῆμά ἐστι φαιόν · ■
ἔνδυμα, ατος, τό · τὸ ἱμάτιον, ὁ χιτών, αἱ βράκαι [§38] εἰσὶν ἐνδύματα
ἀμπέχω ← ἀμφί + ἔχω
ὡραῖος, α, ον = καλός

ἀνεψιά, ἡ / ἀνεψιός, ὁ = παῖς τοῦ ἀδελφοῦ (τῆς ἀδελφῆς) τοῦ πατρός μου (τῆς μητρός)
κάλλος, ους, τό = τὸ καλόν
εὐχροέω = καλὸς φαίνομαι
βλέμμα, ατος, τό (← βλέπω) = τὸ βλέπειν
μαλακός, ή, όν = ὁ ἀφιεὶς ὅταν πιέζηται [§36]
πάγκαλος, η, ον (← πᾶς + καλός) = κατὰ πάντα καλός



γελάω


σιμός, ή, όν

ἔρως, ωτος, ὁ = τὸ μάλα φιλεῖν
πλουτέω = ἔχω πολλὰ χρήματα
οὐσία, ἡ (← εἰμί) = χρήματα
συχνός, ή, όν = πολύς
μεῖραξ, ακος, ἡ = κόρη [§1]

αἰσχρὰ γάρ ἐστιν.
καὶ σιμή (ἐστιν).
καὶ καταπεπλασμένη (ἐστίν).
ὄζει[§18] δὲ μύρου.
ὀσφραίνει τι;
οὐχ ἡδὺ τὸ μύρον τουτί.[§18]

καταπλάσσω · τίθημί τι ἐπὶ τὸ πρόσωπον ἵνα καλὴ φαίνωμαι

ὀσφραίνομαι, ὀσφρήσομαι, ὠσφρόμην, ὠσφράνθην · ἐάν τι ὄζῃ, ὀσφραίνομαι

μύρον, τό · τίθημι τὸ μύρον ἐπὶ τὸ σῶμα ἵνα ἡδὺ ὄζῃ

45 ὁ Σχούλζιος.

Σχούλζιος αὐτῷ ὄνομα; ποῖος οὗτος ὁ Σχούλζιος;
οὐκ οἶσθα αὐτόν; (οὐ γιγνώσκεις αὐτόν;)
οὐ μὰ Δία[§7] ἔγωγε, ξένος γάρ εἰμι ἀρτίως ἀφιγμένος.
πράττει τὰ μέγιστα ἐν τῇ πόλει.
ἔχει δὲ πώγωνα.
καὶ πολιός ἐστιν.
πόθεν[§8] διαζῇ;
ταχέως ὁ ἀνὴρ γεγένηται πλούσιος.
τί δρῶν;
πρῶτον μὲν γὰρ τέχνην τιν' ἔμαθεν· εἶτα γεωργὸς ἐγένετο, νῦν δ' ἔμπορός ἐστιν.
ἐργαστήριον ἔχει.
ἐργάτης.
δικαστής.
ὑπάλληλος.
σύνδικος.
φαρμακοπώλης.
τραπεζίτης.
ἀξιωματικός.
μαθητής.[§30]


ὁ τραπεζίτης καὶ ἡ γυνὴ αὐτοῦ (τραπεζίτης, ου, ὁ)

ἀρτίως = τὸ παρόν

πώγων, ωνος, ὁ = ὁ φυόμενος ἐπὶ τοῦ προσώπου τῶν ἀνδρῶν

πολιός, ά, όν = φαιὸς [§44] ὅτι πρέσβυς

διαζάω (← διά + ζάω) = ζάω διὰ τοῦ ποιεῖν τι

πλούσιος, α, ον = πλουτῶν [§44]

γεωργός, ὁ = ὁ ἐκ τῆς γεωργίας[§36] διαζῶν

ἔμπορος, ὁ = ὁ μέγα πωλῶν

ἐργαστήριον, τό = ὅπου τὸ ἔργον γίγνεται

ἐργάτης, ου, ὁ = ἐργόμενος

δικαστής, οῦ, ὁ = ὁ κρίνων τὸ δίκαιον καὶ διδοὺς τὰς δίκας

ὑπάλληλος, ὁ = ὁ ἐργάμενος ὑπὸ ἄλλου τινός

σύνδικος, ὁ = ὁ βοηθῶν τοῖς δίκην ἔχουσιν

φαρμακοπώλης, ου, ὁ = ὁ πωλῶν τὰ φάρμακα, τὰ ἐπὶ τοὺς νόσους (φάρμακον, τό)

ἀξιωματικός, ὁ = ὁ ἐκ τῶν ἀρχόντων τῆς στρατιᾶς

φοιτητής.
διδάσκαλος.[§41]
καθηγητής.
ἐκ τῶν ἀγρῶν ἐστιν.
ἐκ τῶν γειτόνων ἐστίν.
ἄχθομαι[§3] αὐτῷ συνὼν ἔγωγε.
οὐ πονηρός ἐστι τοὺς τρόπους.
ὡς σοβαρὸς εἰσελήλυθεν![§17]
οὐκ ἀστεῖόν μοι δοκεῖ εἶναι τοιοῦτον ἑαυτὸν παρέχειν.
ὁ δὲ Ν. Ν. νὴ Δία[§7] γεννάδας ἀνήρ.

φοιτητής, οῦ, ὁ = μαθητής
καθηγητής, οῦ, ὁ = διδάσκαλος

ἀγρός, οῦ, ὁ · ὁ γεωργὸς ἐργάζεται ἐν τοῖς ἀγροῖς
γείτων, ονος, ὁ, ἡ = ὁ ἐγγὺς [§9] οἰκῶν
σύνειμι ← σύν + εἰμί

σοβαρός, ά, όν = φαίνων ἑαυτὸν ὑπὲρ τῶν ἄλλων εἶναι
ἀστεῖος, α, ον = ἐκ τῆς πόλεως ὤν

γεννάδας, ου, ὁ = ἐκ καλοῦ γένους ὤν

46 πηλίκη;

θυγάτηρ αὐτῷ μόνη οὖσα τυγχάνει.
πηλίκη ἐστίν;
πλεῖν ἢ ἐνιαυτῷ σου πρεσβυτέρα ἐστίν.
ὑπὲρ εἴκοσιν ἔτη γεγονυῖα.
σὺ δὲ ἀνὴρ νέος εἶ ἐννεακαίδεκα ἐτῶν.
δεῖ οὖν ὀρχεῖσθαί[§41] σε μετὰ τῶν ἐντὸς εἴκοσιν.
ἐνταῦθα κάθηται παρὰ ταῖς πρεσβυτέραις γυναιξίν.
ποῦ; δεῖξον!
ποίαν τιν’ ἔχει σκευήν;[§38]
τέθνηκεν ἡ μήτηρ αὐτῆς ἔτη δέκα.
(ἔτος τουτὶ[§18] ἑνδέκατον.)
ἑξηκοντέτης ἐστὶν αὐτῆς ὁ πατήρ.
ὁ οἶκος.

πηλίκος, η, ον = πόσον [§15] μέγας;

ἐνιαυτός, ὁ = ἔτος, τό

ἐντός = ἔλασσον ἤ

κάθημαι = κεκάθικα [§22] ἐμαυτόν

ἑξηκοντέτης, ου, ὁ = ὁ ἑξήκοντα (60) ἔτη γεγονώς

τύχη καὶ πόνος ἐν τοῖς ἔρωσιν.[§44]

47 ἵμερος ἢ πόθος.

τί οὖν ἐρεῖς περὶ τῆς μείρακος;[§44]
λῆρός[§35] ἐστι τἆλλα πρὸς Ἄνναν.
ἵμερός με (πόθος με) διαλυμαίνεται Ἄννης.
ὢ τί λέγεις;
ἐθαύμασας;
τί ἐθαύμασας;
ὡς ἄχθομαι[§3] αὐτῆς ἀπούσης![§14]
μὴ ἄφρων γένῃ!
πάνυ πολύς μοι δοκεῖ εἶναι χρόνος, ὅτι οὐχ ὁρῶ αὐτὴν τοιαύτην οὖσαν.
οὐκ ἐνθάδε[§3] ἐστίν.
ἀλλ’ ἔρχεται.
ἡδὶ προσέρχεται![§16]
νῦν γε ἤδη καθορῶ αὐτήν.
ἥκει ἐπιεικῶς[§27] πάλαι.
ἄτοπον τουτὶ[§18] πρᾶγμα!
τί πάσχεις;
οὐχ ὁρᾷς; Ν. ἀκολουθεῖ κατόπιν αὐτῆς καὶ ἀσπάζεται![§1]
ὀλίγον μοι μέλει.[§6]
ἡ δὲ δεξιοῦται αὐτόν.
οἴμοι[§22] κακοδαίμων![§22]
οὐ δοκεῖ ὁρᾶν σε.
ἐνέβαλε[§4] τὴν δεξιάν.[§4]
ταύτην μὲν ἔα χαίρειν!
ἀλλ’ εἶμι· προσερῶ γὰρ τὴν τηθίδα.
ἐγὼ δὲ προσείρηκα αὐτήν.

ἵμερος, ὁ = πόθος, ὁ = τὸ μάλα βούλεσθαι
τἆλλα = κατὰ τὰ ἄλλα
διαλυμαίνομαι = κακῶς χράομαι
ἄφρων, ον = μὴ φρονῶν
καθοράω ← κατά + ὁράω
ἄτοπος, ον = ἀπὸ τοῦ ἑαυτοῦ τόπου ὤν
ἀκολουθέω = ἕπομαι
κατόπιν · κατόπιν τινός = μετά τινα ἤ τι
δεξιόομαι = τῇ δεξιᾷ [§4] ἀσπάζομαι [§1]
ταύτην ἔα χαίρειν = ἄφες ταύτην τὴν κόρην ὅτι οὐ φιλεῖ σε
προσαγορεύω, -ἐρῶ, -εἶπον, -εἴρηκα, -εἴρημαι, -ἐρρήθην = λέγω πρός τινα
τηθίς, ίδος, ἡ = ἡ ἀδελφὴ τοῦ πατρὸς ἢ τῆς μητρός

καλῶς γε οὐ προσεῖπάς με! (εἰρωνικόν)

εἰρωνικός, ή, όν = οὐκ ἀληθὴς ἀλλὰ μόνον φαινόμενος

48 τί ποιήσω;

τί ποιεῖν διανοεῖ;
τί μέλλεις δρᾶν;
χρηστόν τι συμβούλευσον!
τί ποιήσω;
οἶμαί σοι τοῦτο μεταμελήσειν.
εὐλαβοῦ μὴ ἐκφύγῃ σ’ ἐκείνη.
σὸν ἔργον τἆλλα ποιεῖν.
τί οὖν κελεύεις δρᾶν με;
δεῖ διαλέγεσθαι αὐτῇ, ὅταν τύχῃς.
τοῦτ’ αὐτὸ γὰρ καὶ βούλομαι.
ἀλλ’ οὐκ ἔστι πω[§14] ἐν τούτῳ τὰ πράγματα.
ἔνι κίνδυνος ἐν τῷ πράγματι.
χαλεπὸν τὸ πρᾶγμα!
μὴ φροντίσῃς.[§21]
μὴ δέδιθι.
μηδὲν δέδιθι, ὦ τᾶν.[§25]
οὐδὲν (γὰρ) πείσει.
οὐ τοὐμὸν ἐμποδὼν ἔσται, ὦ τᾶν.[§25]
μελήσει[§6] μοι τοῦτό γε.

διανοέομαι (← διά + νοῦς) = ἐν νῷ ἔχω
χρηστός, ή, όν = χρήσιμος
συμβουλεύω (← σύν + βουλεύω) = βουλὴν δίδωμί τινι
μεταμέλομαι = κακῶς ἔχω ὅτι κακόν τι ἐποίησα
εὐλαβέομαι = φυλάσσομαι
ἐκφεύγω ← ἐκ + φεύγω
διαλέγομαι = λαλῶ μετά τινος
πείσει ← πάσχω
ἐμποδών = πρὸ τῶν ποδῶν, ἐν μέσῳ τῆς ὁδοῦ

49 εἶα δή!

σπεῦδέ[§15] νυν! ἔπειγέ νυν!
οὔκουν ἐπείξει;
μὴ βράδυνε!

εἶα = ἄγε
ἐπείγω = πιέζω [§36], ἀλλὰ ἐνταῦθα ὥσπερ τὸ σπεύδω
οὔκουν ← οὐκ + οὖν
βραδύνω↔ σπεύδω [§15]

ἄνυε!
οὐκ ἀνύσεις;[§28]
οὐ μέλλειν χρή σε.
μὴ διατρίβωμεν.[§21]
οὐ μὴ διατρίψεις;
νῦν ὁ καιρός!
ἀλλ’ οὖν πεπειράσθω γε. π.χ. Ἀρ., Σφ. 1129
δράσω τοίνυν σοὶ πίσυνος.
πειράσομαι.
κἂν δέῃ μ’ ἀποθανεῖν!
ἀλλὰ δρῶ τοῦτο.
ἤδη ’στὶ τοῦτ’ ἐκεῖνο!
κἂν μὴ φῇ μηδ’ ἐθελήσῃ; Ἀρ., Ὄρν. 555
εἰσόμεθ’ αὐτίκα.
ἐγὼ εἴσομαι.

ἀνύω = πράσσω


πίσυνος, ον = πειθόμενος

50 ἄγαθὴ τύχη ἐν τοῖς ἔρωσιν.[§44]

ἐραστής εἰμι σός.
τί λέγεις;
τί τοῦτο λέγεις;
ὁτιὴ φιλῶ σε.
εἴπερ[§42] ὄντως[§42] ἐκ τῆς καρδίας με φιλεῖς, πρόσειπε[§47] τὴν μητέρα μου.
δός μοι κύσαι. (δὸς κύσαι.)
κύσον με, ἀντιβολῶ![§5]
φέρε, σε κύσω!
οἴμοι,[§22] οἱ ἄλλοι ὅπως μή μ’ ὄψονται!
αὐτοὶ γάρ ἐσμεν.
παῦε! παῦε!

ἐραστής, οῦ, ὁ (← ἔρως, ωτος, ὁ) = ὁ φιλῶν

ὁτιή = ὅτι



καρδία, ἡ


κυνέω, κυνήσομαι, ἔκυσα

ὡς ἥδομαι!
δός μοι τὴν χεῖρα τὴν δεξιάν.[§4]
οὐδέποτέ σ’ ἀπολείψειν φημί!

ἥδομαι, ἡσθήσομαι, ἥσθην = ἡδονὴν ἔχω
οὐδέποτε ← οὐδέ + ποτε
ἀπολείπω ← ἀπό + λείπω

51 ἡ πενθερά.

τί τὸ πρᾶγμα; – τουτὶ[§18] τί ἐστιν;
ὦ Ζεῦ βασιλεῦ!
οἴμοι[§22] κακοδαίμων![§22]
προδεδόμεθα!
οὗτος ὁ πανοῦργος!
τί ποιεῖς;
τί πάσχεις;
ὦ βδελυρὲ σύ!
μὴ πρὸς ὀργήν!
ἀνόσια ἐπάθομεν!
ἆρ’ οὐχ ὕβρις ταῦτ’ ἐστὶ πολλή;
παῦε!
ἄπιθ’[§14] ἐκποδών;
οὐκ εἶ θύραζε;
οὐκ ἄπει δῆτα[§5] ἐκποδών;
ἐς κόρακας![§28]
ἄπερρε!
ἀπολεῖ κάκιστα!
οὐκ ἐς κόρακας;[§28]
{ παραπαίεις, ὦ γύναι.
{ ὦ γύναι, ὡς παραπαίεις!
οἴμοι,[§22] ὡς ὑβρίζεις!
αἰβοί!
οὔτοι καταπροίξει (τοῦτο δρῶν)!
οὐ χαιρήσεις.
ἐγώ σε παύσω τοῦ θράσους.



πενθερά, ἡ = ἡ μήτηρ τῆς γυναικὸς τοῦ ἀνδρός

προδίδωμι (← πρό + δίδωμι) = δίδωμί τι πολλῆς τίμης (τὴν πόλιν, τοὺς φίλους κ.τ.λ.) πρὸ τῶν πολεμίων
πανοῦργος, ον = πονηρός
βδελυρός, ά, όν = μάλα αἰσχρός



ὀργή, ἡ · τὸ ζῷον ὀργῇ χρῆται

ἀνόσιος, ον ↔ ὅσιος, α, ον = δίκαιος, ἱερός
ὕβρις, εως, ἡ = μάλα ἄδικόν τι
ἐκποδών ← ἐκ + ποδῶν
θύραζε = πρὸς τὴν θύραν [§41]
ἀπέρρω = ἀπέρχομαι [§14]

παραπαίω = παραφρονέω [§27]

ὑβρίζω = ὕβριν ποιῶ τινι

αἰβοί · λέγομεν αἰβοὶ διὰ τὸ αἰσχρῶς πάσχειν
οὔτοι ← οὔ + τοι
καταπροΐξομαι = φεύξομαι τὴν δίκην
θράσος, εος, τό · ἔχω θράσος = τολμῶ

ἀλλ’ ἀνάσχου!
οὐ δεινὸν δῆτά[§5] σε τοῦτο δρᾶσαι;
οὐκ ἀνασχετὸν τοῦτο!
οἴμοι,[§22] τί δράσω;
ὁρᾷς, ἃ δέδρακας;
σὺ τούτων αἴτιος!

ἀνέχω ← ἀνά + ἔχω. ἀνέχομαι · μένω πάσχων
ἀνασχετός, όν = οὐ δύναμαι ἀνέχεσθαι

52 *ὡς χαλεπόν!*

τί κύπτεις;
αἰσχύνομαι.
αἴσχιστά τοί σ’ εἰργάσατο ἡ γυνή.
ὀργὴν[§51] ἡμῖν ἔχει πολλήν.
τοῦτ’ ἔστ’ ἄλγιστον ἡμῖν.
πόλλ’ ἄχθομαι,[§3] ὅτι ἔδρασα τοῦτο!
τουτὶ μὰ Δι’[§7] οὐδέποτ’[§17] ἤλπισα.
μὴ πρῖε τοὺς ὀδόντας!
ταῦτα μὲν δὴ ταῦτα.
μὴ μνησικακήσῃς.
ἡσυχίαν ἄγειν βέλτιστόν ἐστιν.
ἡμάρτομεν ταῦτα.
μὴ ἀγανάκτει,[§22] ὦ ’γαθέ. (Ἀρ., Σφ. 287. 1003.)
ἀλλ’ οὐκ ἔσθ’ ὅπως σιγήσομαι.[§25]
αἴτιος μέντοι σὺ τούτων εἶ μόνος.
οὐκ ὀρθῶς τοῦτ’ ἔδρασας!
τί δὲ σοὶ τοῦτο;
τί δὴ μαθὼν τοῦτ’ ἐποίησας;
τῆς μωρίας!
ὡς οὐκ ὀρθῶς τοῦτ’ ἔδρασας!
τοῦτ’ οὐκ ὀρθῶς ἐποίησας.
ταῦτ’ ἐπικαλεῖς;
ἀλλ’ οὐκ ἦν παρὰ ταῦτ’ ἄλλα.

κύπτω = κλίνω [§32] πρόσω
πρόσω ← πρός
αἰσχύνω (αἰσχυνῶ, ᾔσχυνα, ᾐσχύνθην) = ποιῶ τινα αἰσχρόν
αἰσχρός → αἰσχίων, αἴσχιστος

ἀλγεινός, ή, όν (→ ἀλγίων, ἄλγιστος) = ποιῶν τινα ἀλγεῖν [§3]

ἐλπίζω = ἔχω ἐλπίδα



πρίω (ἔπρισα, πέπρισμαι, ἐπρίσθην) ὀδούς, όντος, ὁ

μνησικακέω = μέμνημαι τῶν κακῶν
ἡσυχία, ἡ · ὅταν τις ἐν ἡσυχίᾳ ᾖ, ἥσυχός [§16] ἐστιν

μωρία, ἡ = ὁ νόσος τοῦ νοῦ

ἐπικαλέω = καλῶ τινα ἐπί τι

μὴ νουθέτει με, ἀλλὰ –
ἀπολεῖς με!
ἓν δέ σοι λέγω·
περὶ τῆς κόρης[§1] ἀνιῶμαι.

νουθετέω = ἐν τῷ νῷ τίθημι, συμβουλεύω [§48]

ἀνιάω = ποιῶ τινα ἀλγεῖν

53 μὴ σκῶπτε!

ὡς καταγέλαστον ἐφάνη τὸ πρᾶγμα!
τοῦτο πάνυ γελοῖον!
πρὸς ἐμὲ ταῦτ’ ἐστίν.
σκώπτει.
μὴ σκῶπτε!
μὴ σκῶπτέ με!
μῶν[§16] με σκώπτεις ὁρῶν τοῦτο;
καταγέλαστος εἶ.
οὐ σοῦ καταγελῶμεν.
ἀλλὰ τοῦ;
ἐπὶ τῷ γελᾷς;[§44]
παῦε! – σιώπα![§25]
βούλει μὴ προσαγορεύειν[§47] ἐμέ;

σκώπτω = γελῶ [§44] κατά τινος = καταγελάω

καταγέλαστος, ον (← καταγελάω) = οὗ καταγελῶμεν, οὗτος καταγέλαστός ἐστιν

γελοῖος, α, ον (← γελάω) = ποιῶν γελᾶν

54 τέλος καλόν, τὰ ὕστερα καλά.

ἴσως ἂν εὖ γένοιτο.
{ σὺν θεῷ δ’ εἰρήσεται.
{ ἢν θεοὶ θέλωσιν.
καὶ τίς ἐγγυητής ἐστι τούτου;
ἢν κατορθώσομεν, ἐπαινέσομαι[§6] τὸν θεὸν πάνυ σφόδρα.[§41]

εἰρήσεται = μέλλει λεχθῆναι

ἐγγυητής, οῦ, ὁ = ὁ πίστιν διδούς

κατορθόω (← κατά + ὀρθός) = ἵσταμαι, νικῶ

ὥσπερ εἰκός ἐστιν.
τυχαγαθῇ!
ἢν δὲ σφαλῶμεν;
ἀλαλαί![§6]
ὡς εὐτυχὴς εἶ!
εὐτυχέστατα πέπραγεν.
τίνι τρόπῳ;
παῖδα κόρην[§1] γεγάμηκεν.
πλούσιος[§45] γεγένηται.
ἔχει τῆς ἥβης ἀπολαῦσαι.
εἶτα τί τοῦτο;
ποθεινός ἐστι τοῖς φίλοις.
ἐστὶ τῶν φίλων.

τυχαγαθῇ = τύχῃ ἀγαθῇ

σφάλλω, σφαλῶ, ἔσφηλα, ἔσφαλμαι, ἐσφάλην = ἁμαρτάνω

εὐτυχής, ές = τύχην ἀγαθὴν ἔχων

ἥβη, ἡ = τὸ νέος εἶναι

ἀπολαύω, ἀπολαύσομαι, ἀπέλαυσα, ἀπολέλαυκα = χαίρων χρῶμαι τινι

ποθεινός, ή, όν (← ποθέω [§20]) = ποθούμενος

οἴκοι.

55 *ἐνταῦθα οἰκεῖ.*

οἴκοι = ἐν τῇ οἰκίᾳ

ἔχοις ἂν φράσαι μοι (τὸν κύριον*) Μύλλερον, ὅπου ἐνθάδε[§3] οἰκεῖ;
ἡδέως ἂν μάθοιμι, ποῦ Μύλλερος οἰκεῖ.
τοῦτό με δίδαξον!
ἐν τῇ Λειψανῇ* ὁδῷ.
μετοικίζεται.
φροῦδός[§17] ἐστιν ἐξῳκισμένος.
ἐγγὺς[§9] οἰκεῖ.
ὁδὶ[§20] ἐκ θυρίδος παρακύπτει.
οὗτός ἐστ' ἐκεῖνος.
τίς ἐσθ' ὁ τὴν θύραν[§41] κόπτων;
ἄνοιγε τὴν θύραν! (Ἀρ. Ὄρν. 92. Λυσ. 1216. Νεφ. 181)
οὐκ ἀνοίξεις;

Λειψανός, ή, όν = ὢν τῆς Λειψίας [§2]

μετοικίζω = ἄγω τινὰ πρὸς τὴν νέαν οἰκίαν αὐτοῦ

ἐξοικίζω = ἄγω τινὰ ἐκ τῆς οἰκίας αὐτοῦ

θυρίς, ίδος, ἡ



παρακύπτω = κλίνω [§32] ἵνα βλέπω

κόπτω = βάλλω

ἀνοίγνυμι / ἀνοίγω, ἀνέῳγον, ἀνοίξω, ἀνέῳξα, ἀνέῳχα, ἀνέῳγμαι, ἀνεῴχθην = ἀνοίγω τὴν θύραν ἵνα τις εἰσέλθῃ [§17] διὰ αὐτῆς εἰς τὴν οἰκίαν

ἄνοιγ’ ἀνύσας[§28] τὴν θύραν.
τίς οὗτος;
εἰσάγγειλον.
οὐκ οἶδ’ ἀκριβῶς σου τοὔνομα.
ἔνδον ἐστὶ Μύλλερος;
οὐκ ἔνδον ἐστίν.
οὐκ ἔνδον ὢν τυγχάνει.
περίπατον ποιεῖται.
ἄληθες;
ἐπὶ ταῖς θύραις ἕστηκεν.
μέλλει θύραζε[§51] βαδίζειν[§3] (Ἀρ. Ἐκκλ. 271) / ἐξιέναι.

εἰσαγγέλλω = εἰσελθὼν [§17] ἀγγέλλω

ἔνδον ↔ ἔξω

περίπατος, ὁ = τὸ περὶ τόπον τινὰ βαίνειν

πρῴ = πρωΐ = ἐξ ἕω [§11]

56 *πρῴ.*

πρῲ ἐγείρομαι.
πρὸ φάους.
ἥλιος ἀνέτειλεν.
ἡλίου ἀνατολή.
ἐστὶν ἐν τῷ δωματίῳ.
τὰ στρώματα.
ἐν τοῖς στρώμασιν.
οὔπω ἐγέρθη ἐκ τῶν στρωμάτων (ἐκ τῆς κλίνης).
ἀρτίως[§45] εὕδει.
ἐγρηγόρει χθὲς[§2] (*ὕστερον·* ἐγρηγόρησεν ἐχθὲς) ἐπὶ πολύ.
οὗτος, ἐγείρου!
ἀνίστασο!
ἅπτε λύχνον.
ταῦτα.[§5]
δός μοι ὑποδήματα[§38] καὶ τοὺς

ἐγείρω, ἐγερῶ, ἤγειρα, ἐγρήγορα, ἐγήγερμαι, ἠγέρθην = κινέω

φάος, φάεος, τό = φῶς

ἀνατέλλω, ἀνέτειλα · ἕως εστὶν ὅταν ὁ ἥλιος ἀνατέλλῃ, τοῦτ’ ἐστιν ὅταν γιγνήται ἡ ἀνατολή (ἀνατολή, ἡ → ἀνατολικός [§13])

δωμάτιον, τό = μέρος τῆς οἰκίας ὅπου μένομεν διὰ τῆς νυκτός

στρώματα, τά · μένομεν ἐν τοῖς στρώμασιν ἐν τῷ δωματίῳ οὖσι διὰ τῆς νυκτός

εὕδω, καθεύδω, ἐκάθευδον, καθηῦδον, καθευδήσω · καθεύδομεν ἐν τοῖς στρώμασιν ἐν τῷ δωματίῳ

ἐγρηγόρει · ὑπερσυντελικὸς [§24] τοῦ ἐγείρω, οὐ ἐκάθευδον

ἐγρηγορέω = ἐγρήγορα, οὐ καθεύδω

ἀνίστημι ← ἀνά + ἵστημι

ἅπτω τὸν λύχνον.
ἅπτω, ἅψω, ἧψα, ἧμμαι, ἥφθην.
λύχνος , ὁ



πίλους[§38] καὶ ἀναξυρίδας.
ἤδη ὑπεδέθην.[§39]
ἔνεγκε ὕδωρ πρὸς χεῖρας.[§4]
κόγχη. σήπων.
χεῖρες[§4] ῥυπαραί εἰσιν.
ἆρ᾽ ἀπονένιψαι;
ἤδη ἐνιψάμην τὰς χεῖρας[§4] καὶ τὴν ὄψιν.
ἀνύτεις[§28] χειρόμακτρον[§19] οὐκ ἔχων;
αὐχμεῖς αἰσχρῶς.
οὐκ ἐλούσατο.
ἀποκάθαιρε τὴν τράπεζαν.
οἴκοι[§55] μενῶ.
ἔνδον[§55] παρ᾽ ἐμοὶ διατρίψομεν[§21] (περὶ τὰ μαθήματα).
παρὰ σοί;
πάνυ.
παρ᾽ ἐμοὶ χθὲς[§2] ἦσθα.
ἥκετ᾽ εἰς ἐμοῦ τήμερον![§2]

ἀναξυρίδες, ίδων, αἱ = βράκαι [§38] τῶν ἀνατολικῶν [§13]

κόγχη, ἡ. σήπων, ωνος, ὁ (ἐν τῇ χειρί [§4])



ῥυπαρός, ά, όν · ὅταν γῆ κέηται ἐπὶ ταῖς χερσί [§4], αὗται ῥυπαραί εἰσιν
(ἀπό) νίζω, -νίψομαι, -ένιψα, -νένιμμαι, -ενίφθην = ὕδατι ἀφαιρῶ τὸ ῥύπαρόν
ὄψις, εως, ἡ = πρόσωπον, τό
αὐχμέω = ῥυπαρός εἰμί
λούω = νίζω
(ἀπο-)καθαίρω, καθαρῶ, ἐκάθηρα, κεκάθαρμαι, ἐκαθάρθην = ἀφαιρῶ τὸ ῥύπαρὸν ἀπό τινος



τράπεζα, ης, ἡ

μάθημα, ατος, τό = ἐκεῖνο ὃ μανθάνει τις

57 καθῆσθαι.[§46] στῆναι

ἀποδύου![§38]
καὶ δὴ ἐκδύομαι.
ποῦ καθιζησόμεθα;
κάθησθε![§46]
κάθιζε![§22]
εἰ ταῦτα δοκεῖ!
ἰδού· κάθημαι.[§22]
κάθημαι[§46] ᾽γὼ πάλαι.[§14]
οὐ καθίζεις[§22] ἐν καλῷ.
οὐκ ἔχεις καταφαγεῖν;[§19]

ἐκδύω = ἀποδύω [§38]

καθιζάνω = καθίζω [§22]

δόρπον, τό = δεῖπνον [§19]

βούλει παραθῶ[§20] σοι δόρπον;
αἰτῶ λαβεῖν τιν’ ἄρτον[§18] καῖ κρέας.[§20]
ἥκω φέρων πιεῖν.
δός μοι πιεῖν.
ἰδού.
ἀδικεῖς ἐνθάδε[§3] καθήμενος.[§46]
ἀνίστασο![§56]
οὔκουν[§49] ἀναστήσει[§56] ταχύ, πρὶν τινά σ’ ἰδεῖν;
ἀνίστασο[§56] ὀρθός.
στῆθι.
ταῦτα,[§5] ὦ λοχαγέ!

λοχαγός, ὁ = ἡγεμὼν ἡγούμενος ἑκατὸν ἄνδρας

58 γυνὴ καὶ παιδία.

παιδίον, τό = μικρὸς παῖς
ἄρρην, ὁ, ἡ, ἄρρεν, τό (↔ θῆλυς, θήλεια, θῆλυ) = ὢν τοῦ γένους τῶν ἀνδρῶν
βόσκω = τρέφω
ψωμίζω = τρέφω δίδως τετμημένην τροφήν
κατακλίνω ← κατά + κλίνω [§32]


κυβεύω


χρυσός, ὁ

ἄρρεν ἔτεκε παιδίον.
βόσκει μικρὰ πολλὰ παιδία.
πολλοὶ οἱ παῖδες οἱ ἐξ ἐκείνου.
ποῦ τὰ παιδία;
ποῖ[§8] ἡ γυνὴ φρούδη[§17] ’στίν;
τίς ἂν φράσειε, ποῦ ’στι ἡ γυνή;
οὐκ ἔχω φράσαι.
λούει[§56] καὶ ψωμίζει τὸ παιδίον.
ἀπονενιμμένα[§56] ἐστὶ τὰ παιδία.
κατακλίνει τὰ παιδία.
καιρὸς δέ.
ἱκανὸν χρόνον ἐπαίζετε.[§25]
κυβεύουσιν – περὶ τοῦ;
κοσμίως ἔχε!
μηδαμῶς[§35] τοῦτ’ ἐργάσῃ!
ἰδού· θέασαι!

κόσμιος, α, ον = ἔχων κόσμον

θεάομαι = βλέπω

ὁ θεῖος ἥκει φέρων δῶρα χαρίεντα.[§42]
Λουίσιον* τὼ χεῖρ’[§4] ἀνακροτεῖ ὑφ’ ἡδονῆς.
ἡ δὲ γυνὴ οὐ φαίνεται.
μῶν[§16] ἐμὲ ζητεῖς;
δεῦρό[§17] νυν, ὦ χρυσίον.

θεῖος, ὁ = τινὸς ὁ ἀδελφὸς τοῦ πατρὸς ἢ τῆς μητρός
δῶρον, τό = τὸ δοθὲν ἀντὶ μηδένος
τὼ χεῖρε = αἱ δύο χεῖρες [§4]
ἀνακροτέω = βάλλω τὰς χεῖρας εἰς ἀλλήλας
χρυσίον, τό = μέρος χρυσοῦ, φίλτατος

59 ὁ παιδίων[§58] θόρυβος.

θόρυβος, ὁ ↔ ἡσυχία, ἡ [§52]

ταῦτ’ οὐκ ὀρθῶς ποιεῖς.
ἀδικεῖς γέ με τοῦτο ποιῶν.
ἤν τι λυπῇς με, οὐ χαιρήσεις!
ἀλλ’ ἀπόδος αὐτό!
ἢ τἀπὶ τούτοις δρῶ.
τὴν γνάθον βούλει θένω;
οὐ μὰ Δία[§7] σὺ καταπροίξει[§51] τοῦτο λέγων!
τί μέλλεις δρᾶν;
κλαύσει μακρά.
διαρραγείης!
οὑτοσί σοι κόνδυλος!
ἐς κόρακας![§28]
παῖε παῖε!
οἰμώξει μακρά!
μὴ πρόσιτε![§16]
ἀλαλαί![§6] νῦν ἔχεται μέσος!
οὐχὶ σοῦσθε;
οὐδὲν ἄν με φλαῦρον ἔτι ἐργάσαισθε.

λυπέω = δίδωμι πόνον
τἀπί = τὰ ἐπί
θείνω, θενῶ, ἔθενον = ποιῶ ἵνα τι βληθῇ ἐπί τινα



κλαίω / κλαω, κλαιήσω / κλαήσω, ἔκλαυσα, κλαυσοῦμαι, κέκλαυμαι, κέκλαυσμαι



γνάθος, ἡ

διαρρήγνυμι, -ρήξω, -έρρηξα, -έρρωγα, -ἐρράγην, -ραγήσομαι, -έρρηγμαι, -ερρήχθην = ποιῶ ἵνα τι μηκέτι ὅλον γένηται
κόνδυλος, ὁ = τὸ ἄνω χειρός [§4]
παίω = θείνω
οἰμώζω, οἰμώξομαι, ᾤμωξα, οἴμωγμαι, ᾠμώχθην = κλαίω / κλαω
σεύω = ἐλαύνω. σοῦσθε = ἀπέρχεσθε [§14]
φλαῦρος, α, ον = φαῦλος [§2]

60 ἡ παιδεία.

τίς οὗτος ὁ ἔνδον[§55] θόρυβος;[§59]

μὴ βοᾶτε! – μὴ βοᾶτε μηδαμῶς![§35] –
μὴ κεκράγατε!
οὐκ ἀκούσεσθε ἐτεόν;[§9]
κατερῶ, κατερῶ!
τί ἔστιν;
τί τὸ πρᾶγμα;
τίς ὁ βοῶν με;
εἴπω;
κάτειπέ μοι.
Κάρολος πληγὰς ἡμῖν ἐνέβαλλεν.[§4]
τί φῄς;
ἡ δ᾽ αἰτία τίς ἦν;
τιή;
ὡς ὀξύθυμος!
οὗτος ὁ τρόπος πανταχοῦ!
οὐκ ἐγὼ τούτων αἴτιος.
νὴ Δία,[§7] κἀμὲ τοῦτ᾽ ἔδρασε ταὐτόν.
ἀρνεῖ;
μὴ γρύξῃς!
ὅπως ἐρεῖς μηδὲν ψεῦδος!
ἄξιος εἶ πληγὰς λαβεῖν.
ἐπίσχες,[§16] οὗτος! ποῖ[§8] θεῖς;[§18]
μηδὲν ἀγανάκτει,[§22] ὦ πάτερ.
οἴμοι,[§22] διαρραγήσομαι.[§59]

παιδεία, ἡ = τὸ τρέφειν και διδάσκειν τοὺς παῖδας

βοάω, βοήσομαι, ἐβόησα, ἔβωσα, βέβωμαι, ἐβώσθην = λέγω φωνῇ μεγίστῃ

κράζω, ἔκραγον, κέκραγα, κεκραξομαι = βοάω

κατερέω (μέλλων [§24]) = κατηγορήσω ← κατηγορέω

κατεῖπον (ἀόριστος [§24]) = κατηγόρησα ← κατηγορέω

πληγή, ἡ · δίδωμι πληγάς = παίω [§59]

τιή = τί

ὀξύθυμος, ον = ἔχων θύμον ὀξύν

πανταχοῦ = ἐν πάσιν τοῖς τόποις

ἀρνέομαι = οὐ φημί

γρύζω = ἀσαφῶς [§25] λαλῶ

ψεῦδος,εος, τό = τι μὴ ἀληθὲς ὄν

θέω = τρέχω

τὰ πολιτικά.

61 τὸ στασιάζειν.

πολιτικός, ή, όν = τῆς πόλεως ὤν
ἐπιδημέω (← ἐπί + δῆμος) = οἴκαδε [§17] ἔρχομαι
οὐκοῦν ← οὐκ + οὖν
δημηγορέω = λέγω πρὸ τοῦ δήμου

ὁ Εὐγενὴς ἐπιδεδήμηκεν;
τρίτην ἤδη ἡμέραν.
οὐκοῦν δημηγορήσει;
εὖ ἴσθ’ ὅτι εἰς ἑσπέραν.[§11]
περὶ τοῦ; περὶ ἁπάντων πραγμάτων.
ἄξω σε μετ’ ἐμαυτοῦ εἰς τὸν σύλλογον.
καλῶς · ἀλλ’ οἶδα τὴν ὁδόν.
ἀλλ’ ὅπως παρέσει καὶ αὐτὸς καὶ ἄλλους ἄξεις!
οἱ καινοτομοῦντες.
οἱ συντηρητικοί.*
οἱ δημοκρατικοί.
ἡ βουλή.
οἱ ἐπίτροποι.
ὁ βουλευτής.
ὁ ὑπόψηφος.
οἱ πλείονες.
οἱ μείονες.
τίς ἐπιστατεῖ;
ὁ πρόεδρος.
τίνι πλεῖσται (ἐλάχισται) γεγόνασιν;
βουλευτής ἐστιν, ᾧ ἂν πλεῖσται γένωνται.
πότερον Ἀ. ᾑρέθη; (ἢ ἀπέτυχεν;)
εἰ γὰρ ὤφελεν!

στασιάζω = ποιῶ μέρος πολιτικόν

σύλλογος, ὁ = ὅτε οἱ ἄνθρωποι ἐλθόντες λέγουσι περὶ πράγματός τινος

καινοτομέω = βούλομαι τὸ νέον

συντηρητικός, ή, όν ← συντηρέω = φυλάσσω

ἐπίτροπος, ον = ἐπιμελούμενος πράγματός τινος
βουλευτής, οῦ, ὁ = ὁ ἐν τῇ βουλῇ
ὑπόψηφος, ὁ · ὁ δῆμος αἱρεῖται τοὺς ἄρχοντας ἐκ τῶν ὑποψήφων
πλείων, πλεῖον = πλέων, πλέον
μείων ↔ πλέων

ἐπιστατέω = ὁ πρόεδρός εἰμι, ὁ πρῶτος κάθημαι [§46]

τοῦτ’ ἐστιν πλεῖσται (ἐλάχισται) ψῆφοι → ψῆφος, ἡ = μικρὸς λίθος ᾧ δείγνυμι πότερόν τι ἀρέσκει [§18] μοι ἢ οὔ

ἀποτυγχάνω ← ἀπό + τυγχάνω

ὀφείλω, ὀφειλήσω, ὠφείλησα, ὤφελον, ὠφείληκα = δεῖ με διδόναι ἢ ποιεῖν τι

62 *ὁ τοῦ δήμου σύλλογος.*[§61]

ὦ ἄνδρες! (ὦνδρες!)
ὦνδρες δημόται!
ἀσπάζομαι,[§1] ὅτι προθύμως ἥκετε.
πάνυ ῥαδίως οἶμαι τήμερον[§2] ἀποδείξειν τοὺς ἄρχοντας ἅπαντα ἁμαρτάνοντας.
τί πλέον ἐστὶν ἔξω ἐποικεῖν;
νῦν ἔργον εὐτελείας!
{ οὐ δεόμεθα καινῶν δασμῶν!
{ καινῶν δασμῶν οὐ δεόμεθα!
τοῦθ' ἡμᾶς ἐπιτρίψει!
ἅπαντα γὰρ γίγνεται τέλεσι δήμου.
τί κέρδος;
τί κερδανοῦμεν;[§37]
πῶς ξυνοίσει ταῦτα;
τοῦτό μ' οὐκ ἀρέσκει![§18]
ἔστιν ἐνταῦθά τι κακόν!
οἶδα τὸν νοῦν!
ἀλλ' εἶναί τις μοι δοκεῖ μέση τούτων ὁδός.
Βίσμαρκ ἐρρέτω!
εὖγε! εὖγε!
ὡς ἀγαθὸν τοιοῦτον ἔχειν βουλευτήν![§61]
οὐδὲν λέγεις!
πάνυ μοι ἤδη ταῦτ' ἐστὶ χολή.
πολλὰ λέξας οὐδὲν ἂν πλέον λάβοι.
σίγα![§25]
παραμενῶ,[§17] ἕως ἂν διαπραχθῇ.

δημότης, ου, ὁ = ἀνὴρ ἐκ τοῦ δήμου
πρόθυμος, ον = ἐθέλων
ἀποδείκνυμι ← ἀπό + δείκνυμι
ἐποικέω = ἔρχομαι ἐς ἄλλην χώραν ἵνα οἰκῶ
εὐτέλεια, ἡ = τὸ εὖ τελεῖν, τὸ ὀλίγον τελεῖν [§37]
δασμός, ὁ = τέλος ὃ τελεῖται τοῖς ἄρχουσιν
ἐπιτρίβω = ἀπόλλυμι
κέρδος, εος, τό = ἀγαθόν τι ὃ κτώμεθα
ἔρρω, ἐρρήσω, ἤρρησα, εἰσήρρηκα = ἀπόλλυμαι
χολή ἐστί μοι = ἀγανακτῶ [§22] (χολή, ἡ)
διαπράσσω ← διά + πράσσω
ἀγορεύω = λέγω

τίς ἀγορεύειν βούλεται;
ἐγώ.
ἔσθ’ ὅστις ἕτερος βούλεται λέγειν;
οὐδεὶς ἀντιχειροτονήσειεν ἄν.
ἐγὼ τἀναντία ψηφίζομαι.
καλῶς γε ποιῶν.
ποίει, ὅτι ἂν σοι δοκῇ.
τί βεβούλευται τήμερον;[§2]
τί δῆτ’[§5] ἔδοξεν;
οὐδέν πω · ἴσαι γὰρ ἐγένοντο.
τοιοῦτον σύλλογον[§61] οὔπω[§14] ὄπωπα (οὕτως Ἀρ. Λυσ. 1225. ἄλλοτε ἑώρακα).

χειροτονέω · ὥσπερ φέρω ψῆφον [§61] ἀλλὰ χρώμενος τῇ χειρί [§4]
ἀντιχειροτονέω = χειροτονέω ὅτι οὐκ ἀρέσκει[§18] μοι
ψηφίζω = φέρω ψῆφον [§61]

ἐν τῇ παιδιᾷ.

63 φράσεις διὰ τῆς παιδιᾶς.

παιδιά, ᾶς, ἡ = τὸ παίζειν [§25]
φράσις, εως, ἡ ← φράζω
σκατιούμεθα = παίσομεν τὸ σκάτ, ὅ ἐστιν παιδιὰ τῆς Γεργμανίας [ὅρα τὸ σχῆμα 1]
διαδίδωμι ← διά + δίδωμι



τὰ βαλάνια, τὰ φυλλεῖα



τὰ ἐρυθρά, τὰ κρόταλα

βούλεσθε παιδιὰν παίζωμεν;[§25]
οὐδὲν κωλύει.
παιδιὰν τίνα;
(σκατιούμεθα).
τίς ὁ διαδώσων;
ἐμὸν τὸ ἐρωτᾶν.
τὰ βαλάνια, τὰ φυλλεῖα, τὰ ἐρυθρά, τὰ κρόταλα.
κρατεῖ τὰ βαλάνια.
ἀπόδος φυλλεῖα!
ἐγώ;
σὺ μέντοι!
τί κερδανῶ;[§37]

ὡς δυστυχής εἰμι!
μὴ δέδιθι!
εὐλαβοῦ,[§48] μὴ ἐκφύγῃ σε τῶν ἐρυθρῶν ὁ κράτιστος![§7]
σὸν ἔργον φροντίζειν,[§21] ὅπως κρατήσομεν.
νῦν ὁ καιρός!
νῦν ἔχεται μέσος!
παῖε, παῖε[§59] τὸν πανοῦργον![§51]
οὔ τοι μὰ Δία[§7] χαιρήσεις, ὁτιὴ[§8] τοῦτ᾽ ἔδρασας.
οἴμοι,[§22] διαρραγήσομαι![§59]
τοὺς τρόπους σου ἐπίσταμαι.[§7]
εὖ γε ξυνέβαλες![§27]
ἐθαύμασας;
ταύτῃ κράτιστός[§7] εἰμι.
ἀδικεῖς!
τὸ πραττόμενόν σε λέληθεν.
τί λέγεις;
σύγγνωθί[§5] μοι!
ἅπτε,[§56] παῖ, λύχνον![§56]
τί δὴ μαθὼν τοῦτο ποιεῖς;
ἡ ἀνάγκη με πιέζει.[§36]
οἴμοι,[§22] τί δράσω;
χρηστόν[§48] τι συμβούλευσον.[§48]
ἐθέλει οὗτος κρατῆσαι.
λίθον ἕψεις!
Ἄπολλον ἀποτρόπαιε![§22]
ἒ ἔ, παρὰ νῷν[§29] στενάζειν!
τοῦτ᾽ αὐτὸ γὰρ καὶ βούλομαι!
λόγισαι![§18] (π.χ. Ἀρ. Σφ. 656.)
ἀπολώλαμεν ἡμεῖς.
ἀπότισον δῆτα![§5]
φροῦδα[§17] τά χρήματα!

δυστυχής, ές = κακὴν τύχην ἔχων

ἐκφεύγω ← ἐκ + φεύγω

ἕψω, ἑψήσομαι, ἥψησα, ἥψημαι, ἡψήθην = ὀπτάω [§20]

λίθον ἕψεις = ἄχρηστόν [§24] τι ποιεῖς

στενάζω = στένω [§3]

ἀποτίνω, -τ(ε)ίσω, -έτ(ε)ισα, -τέτ(ε)ικα, -τέτ(ε)ισμαι, -ετ(ε)ίσθην = ἀποδίδωμι

φαῦλόν[§2] ἐστι τὸ ἐμὸν πρᾶγμα.
ἀθλίως πεπράγαμεν.

ἄθλιος, α, ον = νενικηκώς

64 τὸ παμμέγιστον.

τὸ παμμέγιστον.
Α. τίς ὁ διαδώσων;[§63]
Β. αὐτὸς σύ.
Γ. ὁ ἀεὶ ἐρωτῶν.
Β. δός τι δῆτ᾽[§5] ἐμοί· οὐδὲν γὰρ πώποτ᾽ ἔλαβον ἔγωγε τῇδε τῇ ἑσπέρᾳ![§11]
Γ. ἐμὸν τὸ ἐρωτᾶν. τὰ φυλλεῖα[§63] αὐτὰ καθ᾽ αὑτά!
Β. ἔχω ἔγωγε!
Γ. τὸ μηδέν;
Β. καὶ τοῦτό γε.
Γ. παραχωρῶ ἔγωγε.
Α. κἀγώ.
Β. τὸ παμμέγιστον.
Β. ἐμὸν τὸ ἐξάρχειν. ἰδού. ἀπόδοτε δὴ τοὺς κρατίστους![§7]
Γ. οὐ δυνατὸς ἐγὼ μὰ Δία[§7] ὑπὲρ τούτου.
Α. τί φῄς;
Β. βαβαιάξ![§13] ἀπόκειται ὁ παγκράτιστος! ἰδού!
Γ. ἐς κόρακας![§28]
Α. Ἄπολλον ἀποτρόπαιε![§22]
Γ. οἴμοι κακοδαίμων![§22]
Α. ὦ Ζεῦ βασιλεῦ! οὐκ ἄρ᾽ ἔχεις οὐδέν;
Γ. ἀλλὰ τοῦτό γε γίγνεται ἡμῖν. νῦν

παμμέγιστον, τό (← πᾶς, πᾶσα, πᾶν + μέγας, μεγάλη, μέγα) = παιδιὰ [§62] τῆς Γεργμανίας [ὅρα τὸ σχῆμα 1]

πώποτε = ποτε

παραχωρέω ← παρά + χωρέω [§15]

ἐξάρχω ← ἐκ + ἄρχω

ἀπόκειμαι ← ἀπό + κεῖμαι
παγκράτιστος, η, ον ← πᾶς, πᾶσα, πᾶν + κράτιστος, η, ον [§7]

ἐπιδίδωμι (← ἐπί + δίδωμι) = συμφέρον ἢ χρήσιμόν τι δίδωμι

δ’ ὁ καιρὸς ἐπιδοῦναι!
Β. μὴ δῆτα[§5] – οὐ γὰρ ἔστι λαλεῖν τῷ παίζοντι.[§25]
Γ. ἰδοὺ καὶ τοῦτο ἡμῖν!
τὸ μέσον καλῶς τετμήκαμεν!
Α. ἕξομεν ἔτι πολλῷ πλέον, ὦ τᾶν.[§25]
Β. οὐκ ἄλλ’ οὐδὲ ἕν. ἐμὰ γὰρ τὰ λοιπά!
Α. καὶ Γ. οὐδὲν λέγεις! – μὰ τὸν Δί’[§7] οὐ τοίνυν!
Α. πῶς ἄρ’ οὖν ἐπὶ ταῦτα ἦλθες; ἐμέλλομεν γάρ τοι σφοδρῶς[§41] ὑπερέχειν!
ἐγὼ δὲ κάθημαι[§46] οὕτω πάντα τὰ φυλλεῖα[§63] ἔχων.
Γ. ἄληθες; τί δὴ παθὼν οὐχ ὑπερέβαλες σύ; εὖ γὰρ ἐποίησα ἔγωγε. – σὺ δὲ τούτου αἴτιος!
Β. παμμέγιστον τοῦτ’ ἦν μετὰ τεττάρων! ἑξήκοντα. τίς ὁ διαδώσων;[§63]

ὑπερέχω = νικάω, ἀλλὰ ὅρα καὶ [§13]

ὑπερβάλλω (← ὑπέρ + βάλλω) = βάλλω τι ὑπὲρ ἄλλο τι ἵνα νικῶ

ἑξήκοντα = 60

ἄλλα.

65 παροιμίαι.

παροιμία, ἡ = λεγόμενόν τι

ἄμφω, τώ = οἱ δύο

δικάζω (← δίκη, ἡ) = κρίνω


γλαῦξ, γλαυκός, ἡ


χελιδών, όνος, ἡ

Ἀθήναζε = πρὸς τὰς Ἀθήνας. ὅρα τὸ σχῆμα 1 ἢ τὸ 3

μὴ σεαυτὸν ἔσθιε,[§19] ὦ ’γαθέ! μὴ ἀγανάκτει [§22]
πρὶν ἂν ἀμφοῖν μῦθον[§42] ἀκούσῃς, οὐκ ἂν δικάσαις.
τίς γλαῦκ’ Ἀθήναζε ἤγαγεν; πολλαὶ γὰρ γλαῦκες ἐκεῖ ἦσαν



σχῆμα 3: ἡ ἀρχαία Ἑλλας

ἡ (γὰρ) εὐλάβεια πάντα σῴζει.
μία χελιδὼν ἔαρ[§12] οὐ ποιεῖ.
μὴ τὸν ἐμὸν οἴκει οἶκον! μὴ μέλει [§6] σοι τὸ ἐμὸν πρᾶγμα
Τίμων καθαρός! οὗτός ἐστιν ὡς ὁ Τίμων, ὁ οὐ φιλῶν τοὺς ἀνθρώπους
ὁ Διὸς Κόρινθος! ὅταν τι ἀεὶ λέγηται
ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα! δεῖξον ἐνταῦθα τὴν ἀρετήν σου
Μυσῶν ἔσχατος! ἀνὴρ αἰσχρός
ὀλίγον τὸ χρηστόν[§48] ἐστιν.
ἧλιξ ἥλικα τέρπει. ὁ ὅμοιος φιλεῖ τὸν ὅμοιον
οὔτε θέομεν οὔτ᾽ ἐλαύνομεν. τὸ πρᾶγμα οὐ προσέρχεται [§16]
ἅπαντα (γὰρ) τῷ πλουτεῖν[§44] ὑπήκοα.
ζεῖ χύτρα, ζῇ φιλία. ὁ πλούσιος [§45] ἔχει πολλοὺς φίλους
μή ἐπιχειρήσῃς λέοντα ξυρεῖν. μὴ πειράσῃ δεινότατόν τι
“παθὼν δέ τε νήπιος ἔγνω,” / παθήματα μαθήματα.
πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι. τὰ νῦν οὐκ ἔστιν ὅμοια τοῖς πάλαι
πατρὶς γάρ ἐστι πᾶσ᾽, ἵν᾽ ἂν πράττῃ τις εὖ.
ἐστὶ τοῦ πονηροῦ κόμματος.[§30] κακὸς ἄνθρωπός ἐστιν
ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν. ἡ μὲν ἀρχὴ ἐδόκει μεγάλη, τὸ δὲ τέλος ἐστὶ μικρόν
λίθον ἕψεις.[§63]
πλέον θάτερον ποιεῖν. ποιεῖν τὸ κακὸν καὶ χεῖρον
σπεῦδε[§15] βραδέως![§30] μὴ τάχιον ποίει
πλέον ἥμισυ[§10] παντός! τὸ ἥμισυ ἔστω σοι ἱκανόν

εὐλάβεια, ἡ = τὸ εὖ λαμβάνειν
καθαρός, ά, όν ↔ ῥυπαρός, ά, όν [§56]



πήδημα, ατος, τό,

Ῥόδος, ἡ = νῆσος τῆς Ἑλλάδος. ὅρα τὸ σχῆμα 1
ἔσχατος, η, ον ↔ πρῶτος, η, ον
Μυσός, ὁ = ἄνθρωπος ἐκ κακοῦ δήμου
ἧλιξ, ικος, ὁ, ἡ = γεγονὼς ἐν τῷ αὐτῷ ἔτει, φίλος
τέρπω = δίδωμι ἡδονήν
θέω, θεύσομαι = τρέχω [§18]
ὑπήκοος, ον (←ὑπό + ἀκούω) = δοῦλος



ἡ χύτρα ζεῖ (χύτρα, ἡ. ζέω).



λέων, ντος, ὁ

φιλία, ἡ = τὸ φίλον εἶναι
ἐπιχειρέω = πειράομαι
ξυρέω = τέμνω ὥσπερ ὁ κουρεύς, ὁ τὸ κουρεῖον [§17] ἔχων (κουρεύς, έως, ὁ)
νήπιος, α, ον = παιδίον [§58]
πάθημα, ατος, τό = πάθος, πάθους, τό
μάθημα, ατος, τό ← μανθάνω
ἄλκιμος, ον = ἀγαθός
Μιλήσιος, α, ον = ὢν ἐκ Μιλήτου, τῆς πόλεως τῆς Ἑλλάδος
πατρίς, ίδος, ἡ = ἡ γῆ τῶν πατέρων
ὠδίνω = πάσχω πρὸ τοῦ τίκτειν



μῦς, ὁ

ἀποτίκτω ← ἀπό + τίκτω
θάτερον = τὸ ἕτερον

66 *ὀνόματα περὶ τοῦ νῦν ἀπὸ τῆς νέας Ἑλληνικῆς.*

ἡ βουλή.
ὁ βουλευτής.[§61]
ὁ στρατός.
ὁ δήμαρχος.
τὸ γραφεῖον.
τὸ δικαστήριον.
τὸ κόμμα.
συντηρητικός.[§61]
φιλελεύθερος.
ὁ ὑπόψηφος.[§61]
ὁ ὑπουργός.
τὸ ὑπουργεῖον* τῶν ἐξωτερικῶν.
τῶν ἐσωτερικῶν.
τῶν οἰκονομικῶν.
τῆς δικαιοσύνης.
τῶν στρατιωτικῶν.
τῶν ἐκκλησιαστικῶν.
τῆς δημοσίας ἐκπαιδεύσεως.
ὁ ἔπαρχος.
ὁ πρόεδρος.[§61]
ἡ κυβέρνησις.
τὸ κυβερνητικὸν κόμμα.
ἡ ἐφημερίς.
οἱ Καιροί.
τὸ ζήτημα τὸ ἀνατολικόν.[§13]

τὸ ἀτμόπλοιον.*
τὸ ἱστιοφόρον.

δήμαρχος, ὁ = ὁ ἄρχων τοῦ δήμου
γραφεῖον, τό (β') = ὅπου τις γράφει
δικαστήριον, τό = ὅπου δίκαι λέγονται
κόμμα, ατος, τό (β') = μέρος πολιτικόν [§60]
φιλελεύθερος, ον = φιλῶν τὸ ἐλεύθερος εἶναι
ὑπουργός, όν (→ ὑπουργεῖον, τό) = βοηθῶν τῷ βασιλεῖ ἢ τῷ ἄρχοντι
ἔξω [§14] → ἐξωτερικός, ή, όν ↔ ἐσωτερικός, ή, όν
οἰκονομικός, ή, όν ← οἶκος + νόμος
δικαιοσύνη, ἡ = τὸ δίκαιον

στρατιωτικός, ή, όν = ὢν τῶν στρατιωτῶν
ἐκκλησιαστικός, ή, όν ← ἐκκλησία, ἡ = ὁ λαὸς τοῦ Χριστοῦ
δημόσιος, α, ον = ὢν τοῦ δήμου
ἐκπαίδευσις, εως, ἡ = παιδεία [§60]
ἔπαρχος, ὁ = ὁ ἄρχων πρὸ τοῦ βασιλέως
κυβέρνησις, εως ἡ = ἀρχή
κυβερνητικός, ή, όν ← κυβέρνησις, εως ἡ
ἐφημερίς, ίδος, ἡ = βιβλίον ἐφ' ἑκάστης ἡμέρας γεγραμμένον
ζήτημα, ατος, τό = τὸ ζητούμενον, τὸ λυτέον



ἀτμόπλοιον, τό ἱστιοφόρον, τό

ὁ σταθμός.[§14]
ἡ ἁμαξοστοιχία.* [§14]
ὁ σιδηρόδρομος.*
τὸ ξενοδοχεῖον.
τὸ λεωφορεῖον.* [§15]
τὸ δρομολόγιον.*

ὁ φαρμακοπώλης.[§45]
ὁ ἐργάτης.[§45]
ἡ ἀπεργία.*
ὁ κουρεύς.[§65]
ὁ ἀρχιτέκτων.
ὁ γραμματοφόρος.
ὁ βιβλιοδέτης.*
ὁ τυπογράφος.*
ὁ βιβλιοπώλης.
ὁ ἁμαξηλάτης.*
ὁ τεχνίτης.
ὁ ἐφημεριδογράφος.*
ὁ παντοπώλης.
ὁ διδάσκαλος.[§41]
ὁ ἀξιωματικός.
ὁ φωτογράφος.*
ὁ καθηγητής.[§45]
ὁ συντάκτης.*
ὁ δικαστής.
ὁ στοιχειοθέτης.*
ὁ καθαριστής.
ὁ φοιτητής.
ὁ καπνοπώλης.*
ὁ ὡρολογοποιός.*

καθαριστής, οῦ, ὁ = ὁ καθαίρων [§56]
φοιτητής, οῦ, ὁ = μαθητής [§30]
ὡρολογοποιός, ὁ = ὁ ποιῶν τὰ ὡρολογόγια [§10]

τὸ φαρμακοπωλεῖον.

σιδηρόδρομος, ὁ → σιδηροδρομικός, ή, όν [14]

ξενοδοχεῖον, τό = οἶκος ὑπὲρ τῶν ξένων

δρομολόγιον, τό = τὸ ἔχον τοὺς καίρους τῶν ἁμαξοστοιχιῶν ἢ τῶν λεωφορείων κ.τ.λ.

ἀπεργία, ἡ = τὸ μὴ ἐργάζεσθαι τοῦ πλέον κερδαίνειν [§37]

ἀρχιτέκτων, ονος, ὁ = ὁ ἄρχων τῶν τὰς οἰκίας καὶ ἄλλα πολλὰ ποιούντων

γραμματοφόρος, ὁ = ὁ φέρων τὰ γράμματα καὶ ἄλλα πολλὰ πρὸς ἕκαστον οἶκον

βιβλιοδέτης, ου, ὁ = ὁ δέων βιβλία [§21] (δέω ↔ λύω)


τύπος, ὁ = κόμμα [§30]

τυπογράφος, ὁ = ὁ ταξάμενος τοὺς τῶν γραμμάτων τύπους [§30] ἵνα γράφῃ βιβλία κ.τ.λ.

βιβλιοπώλης, ου, ὁ = ὁ πωλῶν βιβλία [§21]

ἁμαξηλάτης, ου, ὁ = ὁ τὴν ἅμαξαν [§15] ἐλαύνων

τεχνίτης, ου, ὁ = ὁ χρώμενος τέχνῃ τινί



μηχανικός, ὁ   ἀξιωματικός, ὁ

ἐφημεριδογράφος, ὁ = ὁ γράφων τὰ ἐφ᾽ ἡμέρᾳ γιγνόμενα

παντοπώλης, ου, ὁ = ὁ πάντα πωλῶν

φωτογράφος, ὁ = ὁ εἰκόνας [§26] τῷ φωτὶ γράφων

συντάκτης, ὁ = ὁ τάσσων τὰ ἔργα τῶν ἐφημεριδογράφων

δικαστής, οῦ, ὁ = ὁ κρίνων

στοιχειοθέτης, ου, ὁ = τιθεὶς τοὺς τῶν γραμμάτων τύπους ὑπὲρ τοῦ τυπογράφου



καπνοπώλης, ου, ὁ   καφενεῖον, τό

φαρμακοπωλεῖον, τό = ὅπου τὰ φάρμακα [§45] πωλεῖται

τὸ καφενεῖον.*
ἡ ἅμαξα.[§15]
τὸ κοιμητήριον.
ἡ λέσχη.
τὸ ἀναγνωστήριον.
ἡ συμφωνία.
τὰ ἀνάκτορα.
ἡ ἔπαυλις.
τὸ πεζοδρόμιον.*
τὸ ταχυδρομεῖον.*
τὸ γραμματόσημον.*
τὸ ἐπιστολικὸν δελτάριον.
ὁ περίπατος.
τὸ δημαρχεῖον.*
ἡ ὁδός.
τὸ προάστειον.
τὸ πανεπιστήμιον.*
τὸ γραμματοκιβώτιον.*
τὸ στυπόχαρτον.* — α’ · στυπόχαρτον, τό
τὸ τηλεγράφημα.* — β’ · τηλεγράφημα, ατος, τό
τηλεγραφικῶς.*
τὸ μέλαν. — γ’ · μέλαν, τό
τὸ μελανοδοχεῖον. — δ’ · μελανοδοχεῖον, τό
τὸ περικάλυμμα. — ε’ · περικάλυμμα, ατος, τό


τηλεγραφικῶς · δὶα τηλεγράφημα


ἡ ψήκτρα. — ς’ · ψήκτρα, ἡ
ὁ κάδος. — ζ’ · κάδος, ὁ
τὸ παραθύριον.
τὸ κωδώνιον. — η’ · κωδώνιον, τό
κωδωνίζειν.
ξύλα, ἄνθρακες. — θ’ · ξύλον, τό. ι’ · ἄνθραξ, ακος, ὁ
τὰ ἔπιπλα.
ἡ ἑστία. — ια’ · ἑστία, ἡ
τὸ κλειδοκύμβαλον.* — ιβ’ · κλειδοκύμβαλον, τό

κοιμητήριον, τό = ὅποι οἱ νεκροὶ, οἱ μὴ ζῶντες, κεῖνται (νεκρός, ὁ)
λέσχη, ἡ = οἶκος κοινὸς ὅπου μόνοι φίλοι τινὲς συνάγονται [§13]
ἀναγνωστήριον, τό = ὅπου οἱ ἄνθρωποι ἀναγιγνώσκουσιν [§21]
συμφωνία, ἡ ← σύν + φωνή, ἡ
ἀνάκτορα, τά = μεγίστη οἰκία
ἔπαυλις, εως, ἡ = οἰκία ἐν τοῖς ἀγροῖς [§14]
πεζοδρόμιον, τό = τὸ ἐφ ᾧ οἱ ἄνθρωποι βαίνουσι κατὰ τὴν ὁδόν
γραμματόσημον, τό = μικρὸς χάρτης [§28] ὃν ὠνούμεθα [§37] ἵνα πέμπωμεν τὰ γράμματα κ.τ.λ.
ταχυδρομεῖον, τό = πάντες οἱ διὰ ὧν πέμπομεν τὰ γράμματα κ.τ.λ.
ἐπιστολικὸν δελτάριον, τό = εἰκὼν [§26] ἐκ χάρτου [§28] ἣν πέμπομεν διὰ τοῦ ταχυδρομείου
περίπατος, ὁ = τὸ βαίνειν περὶ τόπον τινά
δημαρχεῖον, τό = ὅπου ὁ δήμαρχος [§66] καὶ οἱ σὺν αὐτῷ ἐργάζονται
προάστειον, τό = ὁ πρὸ τῆς πόλεως τόπος
πανεπιστήμιον, τό = ὅπου οἱ ἄριστοι διδάσκαλοι [§41] διδάσκουσι πάσας τὰς ἐπιστήμας
γραμματοκιβώτιον, τό = τὸ παρὰ τὴν ὁδὸν δεχόμενον τὰ ἡμετέρα γράμματα καὶ ἐπιστολικὰ δελτάρια κ.τ.λ.























παραθύριον, τό = θυρίς [§55]
κωδωνίζω ← κωδώνιον
ἔπιπλα, τά = τὰ ἐν τῇ οἰκίᾳ ὡς ἡ τράπεζα [§56] κ.τ.λ.

ἡ αἴθουσα.
ὁ κοιτών.
ἡ σκευοθήκη.
ἡ ἱματιοθήκη.
τὸ γραφεῖον.[§66]
τὰ θειαφοκέρια.*
ὁ σήπων (σάπων).[§56]
τὸ ἀνάκλιντρον.
ἡ κλῖμαξ, τὸ ἀνάβαθρον.
τὸ παραπέτασμα.
ἡ λεκάνη. ἡ κόγχη.[§56]
ὁ νιπτήρ.
τὸ δωμάτιον.[§56]
τὸ κλειδίον.
ἡ ὀδοντογλυφίς.* .

ιγ’ · αἴθουσα, ἡ
ιδ’ · θειαφοκέριον, τό
ιε’ · ἀνάκλιντρον, τό
ις’ · κλῖμαξ, ακος, ἡ
ις’ · ἀνάβαθρον, τό
ιζ’ · παραπέτασμα, ατος, τό
ιη’ · νιπτήρ, ῆρος, ὁ
ιθ’ · κλειδίον, τό
κ’ · ὀδοντογλυφίς, ίδος, ἡ

κοιτών, ῶνος, ὁ = δωμάτιον [§56]
σκευοθήκη, ἡ = ὅπου τιθέμεν τὰ σκεύη (σκεῦος, εος, τό · ὥσπερ ἡ χύτρα [§65], τὸ ποτήριον [§18], τὸ τρυβλίον [§19] κ.τ.λ.)
ἱματιοθήκη, ἡ = ὅπου τιθέμεν τὰ ἱμάτια [§38]



αἱ ἡμέραι τῆς ἑβδομάδος ἐν τῇ νέᾳ Ἑλληνικῇ
(ἡ) κυριακή.
ἡ δευτέρα.
ἡ τρίτη.
ἡ τετάρτη.
ἡ πέμπτη.
(ἡ) παρασκευή.
(τὸ) σάββατον.

ἑβδομάς, άδος, ἡ ← ἑπτά
κυριακός, ή, όν = τοῦ κυρίου ὤν. κυριακή = ἡ ἡμέρα τοῦ Κυρίου
παρασκευή, ἡ (← παρασκευάζω) = ἡ ἕκτη ἡμέρα

ὁ αὐτοκράτωρ.
Γερμανία.
οἱ Γερμανοί.
Αὐστρία.*
Οὐγγαρία.*
Ἀγγλία.*
οἱ Ἄγγλοι.*
Ῥωσία.*
οἱ Ῥῶσοι.*

αὐτοκράτωρ, ορος, ὁ = βασιλεύς
Γερμανία κ.τ.λ. · ὅρα τὸ σχῆμα 1
συνέδριον, τό = βουλή


ὁ πρίγκιψ Βίσμαρκ (πρίγκιψ, ιπος, ὁ = ἄρχων)


Γαλλία.
οἱ Γάλλοι.
Δανία.*
Ἰταλία.
Ἱσπανία.
Τουρκία.*
Βερόλινον.*
Βιέννη.*
Πετρούπολις.*
Παρίσιοι.*
Λόνδινον.
τὸ συνέδριον.
ὁ πρίγκιψ Βίσμαρκ.
οἱ νέοι τῆς Γερμανίας ζήτωσαν καὶ χαιρέτωσαν καὶ ἐρρώσθωσαν![§36]

παραβολή, ἡ ← παρά + βάλλω



67 *παραβολαὶ κ.τ.λ.*

Μοῦσα, ης, ἡ
προφερής, ές = προφερόμενος ← πρό + φέρω



ἐρατεινός, ή, όν ← ἔρως [§44]

αἱ ἐννέα Μοῦσαι

Κλειώ τ' Εὐτέρπη τε θάλειά τε' Μελπομένη τε
Τερψιχόρη τ' Ἐρατώ τε Πολύμνιά τ' Οὐρανίη τε,
Καλλιόπη θ'· ἡ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.

ῥωμαϊστὶ [§7] μιμνήσκεται ὧδε · TUM PECCET (Ἡσίοδ., Θ. 77.)

αἱ τρεῖς Χάριτες

α' · Χάρις, Χάριτος, ἡ

Ἀγλαΐη τε καὶ Εὐφροσύνη Θαλίη τ' ἐρατεινή.

(Ἡσίοδ., Θ. 909)

αἱ τρεῖς Μοῖραι β′ · Μοῖρα, ας, ἡ

Κλωθώ τε Λάχεσίς τε καὶ Ἄτροπος, αἵ τε διδοῦσι
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.

(Ἡσίοδ., Θ. 905)

αἱ τρεῖς Γοργόνες γ′ · Γοργώ, Γοργοῦς, ἡ

Σθεινώ τ᾽ Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα.

(Ἡσίοδ., Θ. 276)

Σκηπίων ἐν Νομαντίᾳ περὶ Γράγχου δ′ · Σκηπίων, ωνος, ὁ. ε′ · Γράγχος, ὁ

ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι.

(Ὅμ., Ὀδ. α′, 47)

γνώμη Κικέρονος ϛ′ · Κικέρων, ονος, ὁ

αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.

(Ὅμ., Ἰλ. ϛ′, 208)

γνώμη Νέστορος ζ′ · Νέστωρ, ορος, ὁ

εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.

(Ὅμ., Ἰλ. ιβ′, 243)

γνώμη Ἀλεξάνδρου τοῦ Μεγάλου

ἀμφότερον, βασιλεὺς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής.

(Ὅμ., Ἰλ. γ′, 179)

Σκηπίων ἐπὶ τοῖς ἐρειπίοις Καρχηδόνος[§67]

ἔσσεται ἦμαρ, ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ
Ἴλιος ἱρή,

θνητός, ή, όν = θανούμενος
λυγρός, ά, όν = εἰς θάνατον ἄγων





ῥέζω = πράσσω
δ′ · Σκηπίων ἐπὶ τοῖς ἐρειπίοις Καρχηδόνος τῆς πόλεως
ἐρείπιον, τό



αἰέν = ἀεί. ἀριστεύω = ἀριστός εἶμι. ὑπείροχος = ὑπέροχος ← ὑπέρ + ἔχω. ἔμμεναι = εἶναι
οἰωνός, ὁ = τὸ πρὶν γνωσθέν. ἀμύνω = φυλάσσω. πάτρα, ἡ = πατρίς
κρατερός, ά, όν = ἰσχυρός. αἰχμητής, οῦ, ὁ = μαχόμενος
η′ · Ἀλέξανδρος, ὁ



Ἴλιος ἡ πόλις καὶ Πρίαμος ὁ βασιλεὺς καὶ ὁ λάος ἀπόλλυνται
ἔσσεται = ἔσται. ἦμαρ, ατος, τό = ἡμέρα. ἱρή = ἱερά.

καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.

(Ὁμ., Ἰλ. ς', 448)

ἐϋμμελίης, ὁ = ἔχων εὖ πεποιημένον μακρὸν ὅπλον ἐκ δένδρου μελίας

τὸ μέλλον Ναπολέοντος

τὸ ἐν τῷ ὀνόματι αὐτοῦ ηὑρημένον, εἰς λέξεις [§24] τοῦ Ὁμήρου μεμερισμένον [§67]

Ν Α Π Ο Λ Ε Ω Ν
Ναπολέων ἀπολέων πόλεων ὀλέων λέων ἑῶν ὤν


τὸ δένδρον τῆς μελίας (μελία, ἡ)


Ναπολέων, ντος, ὁ

μερίζω ← μέρος
ἑός, ἑή, ἑόν = ἑαυτοῦ

οἱ ἑπτὰ σοφοί

Ἑπτὰ σοφῶν, Κλεόβουλε, σὲ μὲν τεκνώσατο Λίνδος ·
φατὶ δὲ Σισυφία χθὼν Περίανδρον ἔχειν ·
Πιττακὸν ἁ Μυτιλάνα· Βίαντα δὲ δῖα Πριήνη·
Μίλητος δὲ Θαλῆν, ἄκρον ἔρεισμα Δίκας ·
ἁ Σπάρτα Χίλωνα· Σόλωνα δὲ Κεκροπὶς αἶα.
πάντας ἀριζάλου σωφροσύνας φύλακας.

τεκνόω = τέκνον ποιῶ
φατί = φησί
Σισύφια χθών, ἡ = ἡ γῆ Κορίνθου (← Σίσυφος, ὁ) ὅρα τὸ σχῆμα 3
ἁ = ἡ


οἱ ἑπτὰ σοφοὶ ἀμφὶ Καλλιόπην

ἄκρος, α, ον = ὑπὸ πάντων ὤν
δῖος, δῖα, δῖον = τοῦ οὐρανοῦ ἢ τοῦ θεοῦ ὤν
ἔρεισμα, ατος, τό = τὸ ἠρμένον
Κεκροπὶς αἶα, ἡ = Ἀθῆναι
ἀρίζηλος, ον = δηλούμενος
σωφροσύνη, ἡ ← σωφρονέω [§35]

παραβολαὶ[§67] τῶν ἑπτὰ σοφῶν κατὰ Διογένην Λαέρτιον

Θαλῆς · γνῶθι σαυτόν!
Σόλων · μηδὲν ἄγαν!
Χίλων · ἐγγύα, πάρα δ' ἄτα!
Πιττακός · καιρὸν γνῶθι!
Βίας · οἱ πλεῖστοι κακοί.
Κλεόβουλος · μέτρον[§27] ἄριστον.
Περίανδρος · μελέτη[§21] τὸ πᾶν.

ἄγαν = μάλα
ἐγγύη, ἡ = πίστις
ἄτη, ἡ = κακόν τι
ἐγγύα κ.τ.λ. = ὅταν πίστιν δῷς, κακόν τι ἐγγύς [§9] ἐστιν

ἐπὶ παλαιοῖς νιπτῆρσιν[§66] ἱεροῦ ὕδατος

ἐν τῇ Γαλλίᾳ καὶ ἐν τῇ Ἀγγλίᾳ καὶ ἴσως ἐν τῇ Γερμανίᾳ ἐστὶν ὅδε ὁ ἀναγραμματισμός ·

ΝΙΨΟΝΑΝΟΜΗΜΑΜΗΜΟΝΑΝΟΨΙΝ
νίψον[§56] ἀνόμημα, μὴ μόναν ὄψιν.[§56]

οὗτος ὁ ἀναγραμματισμὸς γέγονεν ἐν τῇ Κωνσταντινουπόλει, ὅπου γεγραμμένος ἐστι ἐπὶ μεγάλῳ νιπτῆρι [§66] ἐν τῷ προθύρῳ τῆς Ἁγίας Σοφίας (ὅρα Zeitschrift für christicle Arch. und Kunst I 35. 232).

ἡ κατάρα τοῦ ἀργυρίου

οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ’ ἔβλαστε. τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ’ ἄνδρας ἐξανίστησιν δόμων·
τόδ’ ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς[§48] πρὸς αἰσχρὰ πράγμαθ’ ἵστασθαι βροτῶν.
πανουργίας δ’ ἔδειξεν ἀνθρώποις ἔχειν
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.

(Σοφ. Ἀντ. 295-301)

ὁ λεγόμενός γε Δελφικὸς χρησμὸς περὶ Σωκράτους

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ’ Εὐριπίδης,
Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

(Σχόλ. Ἀρ. Νεφ. 144.)

λόγοι Ἀρχιμήδους

Εὕρηκα!

Γαλλία κ.τ.λ. · ὅρα τὸ σχῆμα 1



ἀναγραμματισμός, ὁ
ἀνόμημα, ατος, τό = τὸ παρὰ τόν νόμον
πρόθυρον, τό = δωμάτιον [§56] πρὸ τῶν θυρῶν [§41]
κατάρα, ἡ = λόγος καλῶν κακὸν ἐπί τινα
ἄργυρος, ὁ → ἀργύριον
νόμισμα, ατος, τό = τὸ κατὰ νόμον
βλαστάνω, ἔβλαστον, βεβλάστηκα = φύω
πορθέω = ἀπόλλυμι
ἐξανίστημι ← ἐκ, ἐξ + ἀνά + ἵστημι
δόμος, ὁ = οἰκία
ἐκδιδάσκω ← ἐκ, ἐξ + διδάσκω
παραλλάσσω = μεταβάλλω [§28]
φρήν, φρενός, ἡ = νοῦς, καρδία [§50]
βροτός, ὁ = ἄνθρωπος
πανουργία, ἡ ← πανοῦργος, ον [§51]
δυσσέβεια, ἡ = τὸ τοὺς θεοὺς μὴ τιμᾶν
Δελφικός ,ή, όν ← Δελφοί, οἱ. ὅρα τὸ σχῆμα 3
χρησμός, ὁ = παρὰ θεοῦ λόγος



Σοφοκλῆς καὶ Εὐριπίδης καὶ Σωκράτης



Ἀρχιμήδης λέγει Εὕρηκα — Καῖσαρ Σεβαστός

δός μοι ποῦ στῶ καὶ τὰν γᾶν κινάσω!

(ὡς πλείστως προσφέρεται. [§28])

noli istud disturbare! μὴ ἀναστήσῃς τοῦτο!

ἀνίστημι ← ἀνά + ἵστημι
τὰν γᾶν κινάσω = τὴν γῆν κινήσω

Καῖσαρ Σεβαστὸς κατακείμενος ὡς ἐπὶ τὸν θάνατον

– – εἰ δὲ πᾶν ἔχει καλῶς, τῷ παιγνίῳ
Δότε κρότον καὶ πάντες ὑμεῖς μετὰ χαρᾶς προπέμψατε!

(Συητών. Ὀκταβ. 99.)

κατακεῖμαι ← κατά + κεῖμαι
παίγνιον, τό (← παίζω [§25]) = κωμῳδία [§27]
κρότος, ὁ = ψόφος [§26] χερσὶ ποιούμενος
προπέμπω ← πρό + πέμπω
χαρά, ἡ ← χαίρω
Λάκαινα, ἡ = γυνὴ ἀπὸ τῆς Σπάρτης. ὅρα τὸ σχῆμα 3

Λάκαινα μήτηρ τῷ τέκνῳ

Τέκνον, ἢ τὰν ἢ ἐπὶ τᾶς

(Πλούτ. Λακαινῶν ἀποφθέγματα.)

ἢ φέρων τὴν ἀσπίδα ἢ φερούμενος ἐπὶ τῆς ἀσπίδος. ἀσπίς, ίδος, ἡ



ἀπόφθεγμα, ατος, τό = λόγος

μὴ φροντίζει![§21]

τὸ σήμερον μέλει[§6] μοι,
τὸ δ' αὔριον[§2] τίς οἶδεν;

(Ἀνακρ.)

ἤτοι = ἤ

ἡ ἡμέρα κατὰ τοὺς Ἕλληνας μεμερισμένη[§67] ἤτοι ἓξ μὲν ὧραι[§10] τοῖς πράγμασι τέσσαρες δὲ ταῖς ἡδοναῖς.

ἓξ ὧραι μόχθοις ἱκανώταται · αἱ δὲ μετ' αὐτὰς
γράμμασι δεικνύμεναι ζῆθι λέγουσι βροτοῖς.[§67]
α'. β'. γ'. δ'. ε'. ς'.
ζ'. η'. θ'. ι'.

(παλαιὰ παροιμία [§65])

μόχθος, ὁ = πόνος
ζῆθι = προστακτικὴ [§24] τοῦ ζάω

ἕξ ὧραι τοῖς πόνοις πολλαί εἰσιν, αἱ λοιπαὶ ὧραι ταῖς γράμμασι φαίνονται λέγουσαι ὅτι χρῆ τοὺς ἀνθρώπους ζῆν

περιεχόμενα

περιέχω ← περί + ἔχω
εὑρητήριον, τό ← εὑρίσκω

εὑρετήριον